И 354/21

ЕПИСКОПЪ АРСЕНІЙ.

И 354/21

Филовея патріарха Константинопольскаго

XIV вѣка,

ТРИ РѢЧИ КЪ ЕПИСКОПУ ИГНАТІЮ

СЪ ОБЪЯСНЕНІЕМЪ ИЗРЕЧЕНІЯ ПРИТЧЕЙ:

ПРѢМУДРОСТЬ СОЗДА СЕБѢ ДОМЪ И ПРОЧ.

Греческій текстъ и Русскій переводъ.

НОВГОРОДЪ.
Паровая типографія І. І. Игнатовскаго (Знаменская ул., собств. д.).
1898.

918

Епископъ Арсеній.

И 354/21

801-94/10458-6

Филоѳея, патріарха Константинопольскаго

XIV вѣка,

ТРИ РѢЧИ КЪ ЕПИСКОПУ ИГНАТІЮ

СЪ ОБЪЯСНЕНІЕМЪ ИЗРЕЧЕНІЯ ПРИТЧЕЙ:

ПРЕМУДРОСТЬ СОЗДА СЕБѢ ДОМЪ И ПРОЧ.

Греческій текстъ и Русскій переводъ.

НОВГОРОДЪ.

Паровая Типографія І. І. Игнатовскаго (Знаменская ул., собств. д.).

1898.

Отъ С.-Петербургскаго Духовнаго Цензурнаго Комитета печатать дозволяется, С.-Петербургъ 21 Апрѣля 1898 года.

Старшій Цензоръ Архимандритъ *Климентъ*.



Патріархъ Конст. *Филоѳей*, по прозванію *Коккинъ*, два раза занималъ конст. патріаршую каѳедру: въ первый разъ весьма короткое время, съ мая 1354 до начала 1355, когда долженъ былъ уступить патріарху Каллисту; во второй разъ, по смерти Каллиста, съ февраля 1364 до сентября или октября 1376 года, когда скончался. По выраженію историка Кантакузина, Филоѳей своею жизнію и ученіемъ свѣтилъ людямъ подобно свѣтильнику на свѣщникѣ, успѣшно наставлялъ пасомыхъ въ вѣрѣ и благочестіи, и мудро управлялъ церковію. Что же касается образованности Филоѳея, то (говоритъ проф. Ал. Лебедевъ на 417 стр. своихъ „Очерковъ исторіи Византійско-Восточной Церкви съ конца XI до половины XV вѣка". Москва, 1892) сохранившіяся до насъ сочиненія этого патріарха даютъ возможность составлять благопріятное сужденіе объ его образованности. Печатаемое жъ теперь произведеніе свидѣтельствуетъ о его обширномъ знакомствѣ съ св. Писаніемъ и твореніями отцовъ Церкви. О сочиненіяхъ его имѣются свѣдѣнія въ 154 томѣ Patrologiae Graecae Migne, pag. 713—718, и въ „Истор. Обзорѣ пѣснопѣвцевъ и пѣснопѣній Греческой церкви", *Филарета*, архіепископа черниговскаго (изд. 1864, Черниговъ), § 78.

Печатаемыя нынѣ три рѣчи или слова въ объясненіе изреченія въ книгѣ Притчей Соломоновыхъ издаются въ первый разъ по рукописи Моск. Синодальной библіотеки № 431 каталога архимандрита Владиміра (изд. 1894, Москва).

Епископъ Арсеній.

28 марта
1898 года.

Τῷ συνεπισκόπῳ Ἰγνατίῳ Φιλόθεος πατριάρχης

Εἰς τὸ ῥητὸν τῶν Παροιμιῶν· ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά.

Λόγος πρῶτος.

1. Σὺ μὲν ἱερὲ τοῦ Θεοῦ ἄνθρωπε καὶ θείων κοινωνὲ μυστηρίων, ἀρχὴν σοφίας τὴν ἄνω τὲ καὶ πρώτην κτησάμενος, κατὰ τὸν σοφὸν εἰπεῖν Σολομῶντα, καὶ καθαρωτάτῳ τῷ καὶ τῶν παθῶν ἐλευθέρῳ τοῖς ἱεροῖς ἐκείνης μυστηρίοις ἐμφιλοχωρῶν ὁσημέραι, καὶ τὸ βαθὺ καὶ ἀκατάληπτον αὐτῆς ἐννοῶν, εἴπερ τις τῶν πάντων, οὐ παύῃ πᾶσιν ἔργοις τὲ καὶ λόγοις ὡς εἰκὸς τὸ κατ' αὐτὴν ἐκζητῶν ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν, κατ' αὐτὴν ἐκείνην εἰπεῖν. Ἐπεὶ καὶ ἐφίλησας αὐτὴν καὶ νύμφην ἱεράν τε καὶ ἄφθαρτον ἐζήτησας ἀγαγέσθαι σαυτῷ κατὰ τὸν σοφόν φημι τοῦτον, διὸ καὶ τὴν ὑψηλὴν ἐκείνην καὶ σοφὴν ὄντως εἰκόνα, ἣν ἐν Παροιμίαις περὶ ἐκείνης αὐτὸς ἀναπλάττει τὴν σοφίαν αὐτὴν ἐκείνην εἰσάγων τῷ λόγῳ οἶκον ἑαυτῇ τινα κτίζουσαν, ἑπτὰ διαβασταζόμενον

Филоѳей патріархъ соепископу Игнатію.

На изреченіе Притчей: *Премудрость созда себѣ домъ, и утверди столповъ седмь* (Притч. IX, 1).

Слово первое.

1. Ты, священный человѣче Божій и общниче таинъ божественныхъ, стяжавши высшее и первое начало мудрости (Прит. 1, 7), скажемъ словами мудраго Соломона, и каждодневно размышляя о священныхъ ея тайнахъ умомъ чистымъ и свободнымъ отъ страстей, и вникая, какъ вѣрядъ ли кто другой, въ глубину и непостижимость ея, не перестаешь, какъ и подобаетъ, всѣми словами и дѣлами доискиваться ея больше, чѣмъ золота и множества камней драгоцѣнныхъ (Притч. VIII, 10. 19), выразимся еяже словами. Такъ какъ ты и полюбилъ ее и пожелалъ взять ее въ священную и нетлѣнную невѣсту себѣ (Прем. VIII, 2), по примѣру сего пре-

στόλοις, θύματά τε τὰ ἑαυτῆς σφαττουσαν καὶ κρατῆρα κιρνῶσαν, καὶ δὴ καὶ φιλοτίμως ἐντεῦθεν τὴν ἰδίαν ἑτοιμάζουσαν τράπεζαν, καὶ μεθ' ὑψηλοῦ τοῦ κηρύγματος συγκαλοῦσαν τοὺς δαιτυμόνας, καὶ ὅσα ἐξῆς τοῦ καινοῦ δράματος καὶ τῶν συμβόλων ἐκείνων, ταῦτα τοίνυν τοῖς ἀμαθέσιν ἡμῖν καὶ τὴν ψυχὴν ἀπαιδεύτοις προθέμενος, διασαφῆσαι προετρέψω τῷ λόγῳ καὶ τὴν ἐν τῷ βάθει κεκρυμμένην ἔννοιαν εἰς τοὐμφανὲς προαγαγεῖν καθόσον οἷόντε, καλῶς γε ποιῶν κἀν τούτῳ καὶ σαυτοῦ καὶ τῆς σῆς περὶ τὰ κάλλιστα σπουδῆς ὄντως ἀξίως. Ἐγὼ δὲ τοσοῦδε μεγέθους πράγματος πλεῖστον ὅσον ἀφεστηκὼς καὶ τῶν τῆς θείας σοφίας ὀργίων οὐχ ὅπως ἀτέλεστος ὤν, ἀλλὰ μηδὲ τῶν προθύρων μηδέ γε τῶν ἱερῶν ταύτης οὐδῶν ἐπιβεβηκώς, μηδ' ὁπωστιοῦν· εἰς γὰρ κακότεχνόν φησι ψυχὴν σοφία οὐκ εἰσελεύσεται, οὐδ' ἐν ὑποχρέῳ ἁμαρτίαις σώματι κατοικήσει· τὸν λόγον ἀνεβαλλόμην ἐπὶ πολύ, μὴ καὶ τῆς παροιμίας ἐκείνης ἐπιπληκτικώτερόν πως ἀκούσαιμι, τὸν ἰατρὸν δεῖν λεγούσης πρὸ τῶν ἄλλων θεραπεύειν αὐτὸν ἑαυτόν. Κἂν ἀπεσχόμην εὖ ἴσθι διὰ ταῦτα τοῦ λόγου, μὴ τῆς σῆς ἐπικειμένης ἀνάγκης καὶ διηνεκῶς πληττούσης ἡμᾶς τοῖς ὀνείδεσι καθαπερεί τινι κέντρῳ, καὶ ὡσανεί τι χρέος μέγιστόν τε καὶ ἀπαραίτητον σφοδρῶς ἀπαιτούσης τὸν λόγον, φέρε τοιγαροῦν τῇ σῇ πίστει τεθαρρηκότες, ἤτις ἄρα καὶ ὄρη κατὰ τοὺς θείους χρησμοὺς δύναται μεταφέρειν, ἀψόμεθα τῆς ἑρμηνείας τῶν προτεθέντων· καὶ μάλισθ' ὅτι τῶν μὲν ἡμετέρων ὀλιγά τινα καὶ

мудраго, то и высокій оный и искусный воистину образъ ея, какой онъ въ Притчахъ начертываетъ, въ своемъ очеркѣ представляя оную мудрость созидающею себѣ нѣкій домъ, поддерживаемый семью столпами, закалающею жертвы свои и растворяющею вино свое и щедро затѣмъ уготовляющею свою трапезу, и проповѣданіемъ съ возвышенностей созывающею гостей, и прочее продолженіе этого новаго представленія и символовъ тѣхъ,—все это наконецъ предложивши намъ неученымъ и по уму неискуснымъ, просилъ выяснить въ книгѣ, и сокровенную въ глубинѣ мысль вывесть по возможности наружу, и въ этомъ хорошо поступая и вполнѣ достойно тебя и твоего стремленія къ прекрасному. Я же, весьма не соотвѣтствуя такому великому дѣлу и въ тайны Божественной премудрости не только не посвященный, но и преддверій и священныхъ пороговъ ея нисколько не достигшій (потому что, говоритъ, *въ лукавую душу не войдетъ премудрость, и не будетъ обитать въ тѣлѣ, порабощенномъ грѣху*—Прем. 1, 4), надолго медлилъ отвѣтомъ, чтобы какъ нибудь не услышать укоризны той притчи, говорящей: врачу надлежитъ прежде другихъ врачевать самого себя (Лук. IV, 23). И поэтому, завѣрное знай, я не сталъ бы отвѣчать,

μικρά, τὰ πλείω δὲ τῶν σοφῶν ἐροῦμεν μυσταγωγῶν καὶ πατέρων, θείῳ δηλαδὴ πνεύματι φιλοσοφησάντων ἐκεῖνα, παθόντων τε καὶ μαθόντων, ὥσπερ ἐχρῆν τοὺς τοιούτους τάγε τοιαῦτα καὶ παθεῖν. Μᾶλλον δὲ, ἐκείνων τὰ πάντα, παρ᾽ ὧν καὶ ἡμεῖς ἔχομεν ἐκμαθόντες, εἴ τί που τῶν δεόντων καὶ μαθεῖν ἔσχομεν.

2. Ἡ σοφία φησὶν ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά· ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν.

Τῆς τῶν Παροιμιῶν μέν ἐστιν ἱερᾶς ταυτὶ βίβλου, καθάπερ οἶσθα. Πατὴρ δ᾽ ἐκείνης ὁ σοφώτατος Σολομών, ὃς τῆς ἀληθινῆς καὶ πρώτης σοφίας ἐραστὴς εἴπερ τις τῶν πάντων γενόμενος, καὶ τοῦ Θεοῦ πλεῖστα καὶ κάλλιστα δεηθείς, ὡς αὐτὸς οὗτος φησὶν, ὑπὲρ τοῦ κτήσασθαι ταύτην καὶ τῶν εὐχῶν ἐπέτυχεν, εἴπερ τις τῶν πάντων, καὶ τοῦ μεγίστου τούτου καὶ ὑπὲρ ἄνθρωπον κτήματος ἐν περιλήψει κατέστη

еслибы не настояло твое понужденіе, непрестанно трогающее насъ укоризнами, какъ нѣкіимъ жаломъ, и упорно требующее отвѣта, какъ бы нѣкоего важнаго и неотвратимаго долга; и вотъ, полагаясь на твою вѣру, которая, по священнымъ изреченіямъ (Мо. XVII, 20. 1 Кор. XIII, 2), можетъ и горы переставлять, приступимъ къ изъясненію предложенныхъ (тобою рѣчей), и всего надежнѣе потому, что отъ себя скажемъ немного и скудно, а больше отъ мудрыхъ тайнозрителей и отцовъ, любомудрствовавшихъ о томъ по дѣйствію и наученію отъ Духа Божія, какъ они имѣли нужду и воспринимать это и научать. Сказать же лучше, все—ихъ, отъ которыхъ и мы научились, если чему изъ потребнаго и научились.

2. Говорится, *Премудрость построила себѣ домъ, и на семи столпахъ утвердила его; заклала жертвы свои, и растворила въ чашѣ вино свое, и приготовила у себя трапезу.*

Это, какъ извѣстно тебѣ, слова священной книги Притчей. Творецъ же ея—мудрѣйшій Соломонъ, бывшій, какъ едва ли кто другой, ревнителемъ истинной и первой мудрости, и, какъ самъ говоритъ (Прем. VII, 7. VIII—IX. сн. 3 Цар. III, 5—14), прилежно и усердно молившій Бога о пріобрѣтеніи ея, и о чемъ молился, то полу-

μετὰ παντὸς τοῦ βελτίστου. Πλήρης τοιγαροῦν ἐκεῖνος τῆς τοῦ Θεοῦ σοφίας γενόμενος, διαφόρους ἐξέθετο βίβλους. ἀρίστους τὲ καὶ κοινωφελεῖς τὰς πάσας τωόντι, καὶ πρὸς πᾶν εἶδος παιδεύσεως πεφυκυίας. Φυσιολογοῦσι τε γὰρ ὀρθῶς καὶ δογματίζουσιν ἀπταίστως, τὴν ἠθικήν τε διδάσκουσιν ἀρετὴν μάλα λαμπρῶς, καὶ οὐδὲ θείας ἀπολείπονται προφητείας. Τὰ κάλλιστα μὲν οὖν ὡς μάλιστα καὶ τελεώτατα τῶν θειοτάτων προλέγουσι μυστηρίων, εἴπερ ἐκεῖνό γε τέλος ἀκριβὲς παλαιᾶς ὁμοῦ τὲ καὶ καινῆς καὶ πάσης τῆς κατὰ Χριστὸν ἀῤῥήτου καὶ θείας οἰκονομίας, τὸ νυμφευθῆναί φημι Χριστῷ τὴν πόρνην πρότερον ἐκκλησίαν, καὶ σῶμα γενέσθαι τῆς μεγίστης κεφαλῆς ἐκείνης τοῦ ἀσάρκου καὶ ἀσωμάτου δηλαδὴ ὅσον ἐπὶ τῇ πρώτῃ φύσει, καὶ ἄνθρωπον μὲν διὰ φιλανθρωπίαν τὸν Θεὸν χρηματίσαι, Θεὸν δ' αὖθις ὑπερφυῶς κατὰ χάριν τὸν ἄνθρωπον, ὑπὲρ οὗ φησι πᾶσα πρᾶξις Χριστοῦ καὶ πᾶς λόγος καὶ ἅπαν μυστήριον. Σοφίας μὲν οὖν ἐκεῖνα γεννήματα πάντα τῆς θαυμαστῆς καὶ μεγάλης, ἥτις ἄρα καὶ δαψιλῶς οὕτως χυθεῖσα καὶ πλατυνθεῖσα ἐν τῇ ἐκείνου καρδίᾳ, ἵνα καὶ ταῖς φωναῖς αὐταῖς ἐκείναις τοῦ σοφοῦ χρήσωμαι, καὶ πρὸς ἡμᾶς ἐξεχύθη τοὺς ἔξω, καθαπερεί τις ὕδατος πηγὴ ξένη ζῶσα καὶ βρύουσα. Τὴν δὲ τῶν Παροιμιῶν ταύτην βίβλον Σοφίας ἔγωγε μᾶλλον ἂν προσηγόρευσα βίβλον, καὶ ταύτῃ τοὔνομα προσήκειν ἂν εἶπον εἴπερ τινι, οὐχ ὡς τῆς σοφίας οὔσῃ γνήσιον γέννημα μόνον· τούτου γὰρ δήπου καὶ ταῖς ἄλλαις ὡσαύτως προσῆκεν· ἀλλ' ὅτι διδασκάλιόν ἐστι τὸ

чилъ какъ вѣрядъ ли кто изъ всѣхъ, и сталъ обладать симъ величайшимъ и превосходящимъ силы человѣка стяжаніемъ вмѣстѣ со всѣми благами. Итакъ онъ, будучи исполненъ премудрости Божіей, составилъ различныя книги, превосходныя и всѣ дѣйствительно общеполезныя и пригодныя ко всякому роду обученія. Ибо и о природѣ разсуждаютъ правильно и мыслятъ непогрѣшительно, и весьма ясно научаютъ доблести нравственной, не лишены и божественныхъ пророчествъ. Посему предсказываютъ о превосходнѣйшихъ воистину и совершеннѣйшихъ тайнахъ божественныхъ, потому что предрекаютъ оную конечную цѣль ветхаго и новаго и всего Христова неизреченнаго и божественнаго домостроительства, разумѣю уневѣститься Христу беззаконновавшей прежде церкви и содѣлаться ей тѣломъ великой оной Главы (Еф. V, 23. Кол. 11, 19), то есть безплотнаго и безтѣлеснаго относительно первой *) природы, содѣлаться Богу человѣкомъ по человѣколюбію и человѣку опять Богомъ сверхъестественно по благодати, о каковой цѣли гласитъ вся дѣятельность Христа и вся проповѣдь (Его) и вся тайна (Христова—Кол. IV, 3). И такъ всѣ оныя порожденія чудной и великой мудрости, столь обильно

*) То есть—Божественной.

κατ' αὐτὴν ἄντικρυς πᾶν τῆς θείας σοφίας, ἀρχὴν ἐκείνης καὶ τέλος διδάσκον, καὶ ὅπως ἀσκητέον γε ταῦτα τοῖς βουλομένοις. Μᾶλλον δ' ἀρχὴν μὲν καὶ ἄσκησιν καὶ ἀγῶνας ἐκείνης· τέλος δὲ τοπαράπαν οὐδέν. Ἐπεὶ μηδὲ πρόσεστι καὶ ὁποιοῦν οἱονδήποτε τέλος τῇ τοῦ Θεοῦ μεγάλῃ σοφίᾳ. Καὶ προσέτι, πῶς μὲν δύσκολος καὶ ποικίλη τις ἡ κακία, ταυτὸν δ' εἰπεῖν ἡ κάκιστ' ἀπολλυμένη τῆς ἀνθρωπίνης ψυχῆς ἀπαιδευσία τὲ καὶ ἀναισθησία· „εἰς γὰρ ἅδου πυθμένα φέρει τὰ αὐτῆς φησὶ τέλη". πῶς δ' εὔκολός τε, καὶ ῥάστη καὶ διὰ πάντων ἁπλῆ καὶ εὐθεία τις ἡ πρὸς ἐκείνην φέρουσα τρίβος. „Αἱ γὰρ ὁδοί φησιν αὐτῆς, ὁδοὶ καλαί· καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς μετ' εἰρήνης." Καὶ οὐ μόνον „ἐκ πόνων ἐρρύσατο τοὺς ἀγαπῶντας αὐτήν," κατ' αὐτὴν ἐκείνην αὖθις εἰπεῖν, „ἀλλὰ καὶ ἐφύλαξεν αὐτοὺς ἀπὸ ἐνεδρευόντων μάλα καλῶς, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτοῖς. Αἱ γὰρ ἔξοδοι φησὶν αὐτῆς ἔξοδοι ζωῆς, καὶ ξύλον ζωῆς ἐστι τοῖς ἀντεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτήν, ὡς ἐπὶ Κύριον, ἀσφαλής." Ταῦτα μὲν οὖν καὶ τὰ παραπλήσια τούτοις ἦγε τῶν Παροιμιῶν βίβλος καθόλου περὶ τῆς σοφίας διδάσκει, ποτὲ μὲν ὡς ἐκ προσώπου τοῦ συγγραφέως ἠθικῶς τε καὶ διδασκαλικῶς ποιουμένη τὸν λόγον, ὡς ὅταν ἀρχὴ σοφίας λέγῃ φόβος Κυρίου, καὶ τὸ, σοφία ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει. Καὶ αὖθις· ἐὰν τὴν σοφίαν ἐπικαλέσῃ καὶ τῇ συνέσει δῶς φωνήν σου. Καὶ πάλιν· ἀρχὴ σοφίας, κτῆσαι σοφίαν. Καὶ· ἐὰν σο-

изліянной и распространенной въ сердцѣ его, говоря самыми выраженіями мудраго (Еккл. 1, 17), переданы и намъ внѣшнимъ, какъ нѣкій необычный живой и неисчерпаемый источникъ воды. И я эту книгу Притчей охотнѣе назвалъ бы книгою Премудрости и сказалъ бы, что это имя приличествуетъ ей больше, чѣмъ какой другой, не въ томъ смыслѣ, что она одна только есть подлинное произведеніе Мудрости (такъ какъ поэтому оно приличествовало бы равно и другимъ); а потому, что она есть, прямо по заявленію Мудрости, во всѣхъ отношеніяхъ училище Божественной мудрости, которое научаетъ началу ея и концу, и тому, какъ надлежитъ подвизаться желающимъ этого; а лучше сказать—началу, упражненію и подвижничеству въ ней, конца же ей вовсе нѣтъ никакого, потому что и не предлежитъ какой бы то ни было конецъ великой мудрости Божіей. И еще (научаетъ), какъ прискорбна и ненадежна злоба, или что тоже къ жалкой гибели доводящая невоспитанность и огрубѣлость души человѣческой: потому что, говоритъ, *конецъ этого пути приводитъ въ дно адово* (XIV, 12); какъ, напротивъ, легокъ, удобенъ и во всемъ простъ и прямъ путь, ведущій къ мудрости. Ибо, говоритъ, *пути ея—пути пріятные, и вси стези*

φὸς γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τοῖς πλησίον. Καὶ ὅσα τοιαῦτα. Ποτέ δ' αὖθις αὐτὴν τὴν σοφίαν εἰσάγουσα δι' ἑαυτῆς ὡσανεὶ λέγουσαν ταῦτα, Ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλήν, καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Καὶ· ἐμή φησι βουλὴ καὶ ἀσφάλεια. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ. Καὶ αὖθις· Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. Καὶ πάλιν· ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με. Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. Καινὸν δὲ τοπαράπαν οὐδέν, οὐδέ γε τῆς θείας Γραφῆς ξένον τό, συμβόλοις δή τισιν ἱεροῖς καὶ εἰκόσι καὶ παροιμίαις ἐν μυστηρίῳ τὰ θεῖα δήπου πιστεύειν. Προφῆται μὲν γὰρ καὶ σοφοὶ καὶ θεολόγοι τῆς παλαιᾶς σχεδὸν πάντες αὐτοί τε συμβολικῶς ἐμυοῦντο τὰ θεῖα, καὶ τοὺς ἄλλους παραβολαῖς καὶ δράμασι καὶ συμβόλοις ἱεροῖς ἐδίδασκον ἐκείνων τὰ πλεῖστα. Ὡς ὅταν ὁ μὲν Ἡσαΐας εἶδον λέγῃ τὸν Κύριον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ σεραφὶμ κύκλῳ αὐτοῦ. Καὶ ἀῦθις· ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι, ἐν τόπῳ πιόνι, ληνός τε καὶ πύργος καὶ ὅσα ἐξῆς. Καὶ· τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱματίων ἐκ Βοσόρ; καὶ· ἵνατί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ; Ὁ δ' ἱερὸς Ἰεζεκιὴλ τὸν Θεὸν ὡσαύτως ἰδεῖν ἐπὶ θρόνου λέγεται καὶ νεφέλης, θρόνους καὶ στολὰς καὶ ζώνας ἐκ πυρός τε καὶ χρυσοῦ καὶ ἠλέκτρου περιτιθείς τῷ φανέντι, καὶ προσέτι τροχοὺς κινουμένους καὶ ζῶντας, ὀφθαλμῶν ὁμοῦ καὶ πτερῶν πλήρεις, καὶ τὴν δοθεῖσαν

ея мирны (III, 17). И не только спасала любящихъ ее отъ бѣдъ, скажемъ опять еяже словами, но и весьма счастливо сохраняла ихъ отъ навѣтниковъ и въ крѣпкой борьбѣ давала имъ побѣду (Прем. X, 9—12). Потому что, говоритъ, *обрѣтеніе ея—обрѣтеніе жизни* (Притч. VIII, 35). Она—*древо жизни для держащихся ея, и твердая защита опирающимся на нее, какъ на* Господа, (Притч. III, 18). Такъ, и подобно сему, книга Притчей учитъ вообще о мудрости, иногда отъ лица составителя ведя рѣчь нравоучительную, когда напр. говоритъ: *начало мудрости—страхъ Господень* (1, 7), и: *премудрость возглашаетъ на улицахъ, на площадяхъ возвышаетъ голосъ* (1, 20). И еще: *если будемъ призывать мудрость и взывать къ разуму* (11, 3). И опять: *начало мудрости--пріобрѣтать мудрость* (ст. 7). И: *если ты будешь мудръ для себя, то будешь мудръ и для ближнихъ* (IX, 12). И прочее подобное. Иногда же опять вводя саму мудрость, какъ бы такъ говорящую лично: *Я, премудрость, обитаю съ разумомъ, и ищу знанія и разсудительности* (VIII. 12). И: *у меня*, говоритъ, *совѣтъ и правда* (ст. 14); *любящихъ меня я люблю* (ст. 17). И еще: *Господь создалъ меня началомъ путей Своихъ въ зиж-*

σαν ἐπὶ τούτοις αὐτῷ κεφαλίδα βιβλίου παρὰ φύσιν εἰς βρῶσιν, ἣν καὶ φαγὼν αὐτίκα καὶ πικρὰν εὗρε τὴν αὐτὴν καὶ ἡδίστην. Ὁ δὲ Δανιὴλ παλαιὸν ἡμερῶν ὁρᾷ τὸν Ποιητὴν τῶν αἰώνων, θρόνους τε καὶ βιβλία καὶ πυρὸς ποταμὸν, καὶ ἐπὶ τῶν νεφελῶν ἐρχόμενον ὡς υἱὸν ἀνθρώπου, καὶ θηρίων τινῶν μάχας πρὸς ἄλληλα, καὶ νίκας καὶ ἥττας, καὶ ὅσα τῆς ὀπτασίας ἐξῆς. Καὶ παρίημι τὰ πλεῖστα τῶν προφητῶν οὐ λόγοις οὐδὲ ὁράσεσι μόνον, ἀλλὰ καὶ πράγμασιν αἰσθητοῖς πολὺ τὸ συμβολικὸν ἔχοντα καὶ αἰνιγματῶδες. Ὡς ὅταν ὁ μέν τις αὐτῶν πόρνην ἑαυτῷ προστάγματι Θεοῦ δηλαδὴ λαμβάνει γυναῖκα, καὶ πορνείας τέκνα γεννᾷ κατὰ τὸν ἐκεῖθεν χρησμόν· ὁ δὲ ξυλίνους ἑαυτῷ περιθεὶς κλοιοὺς πρότερον, οὕτω τοὺς θείους ἐκδιδάσκει χρησμούς. Ὁ δὲ θαυμαστὸς Ἐλισσαῖος οὐ πρότερον ἐκ νεκρῶν ἐγείρει τὸν παῖδα, εἰ μὴ πρότερον ἐπιπεσὼν καὶ ὅλος ὅλῳ προσφὺς τῷ κειμένῳ, στόματι στόμα καὶ ὀφθαλμοῖς ὀφθαλμοὺς, καὶ πᾶν ἑαυτοῦ μέλος τοῖς νεκροῖς ἐκείνου μέλεσι προσαρμόσῃ· καὶ τοῦτο οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλ' ἑπτάκις· καὶ οὕτως ὡς ἐξ ὕπνου τὸν κείμενον εὐθὺς ἀναστήσῃ. Ἀλλὰ καὶ Μωσῆς ἐκεῖνος ὁ μέγας, ἵν' ἐπὶ τὰ καθολικώτερα τὸν λόγον ἀγάγω, συμβόλοις καὶ τύποις ἅπαν τὸ μυστήριον τὸ κατὰ τὴν πρώτην διαθήκην καὶ μυεῖται καὶ μυεῖ τὸν τοῦ Θεοῦ λαὸν αὖθις. Ὅρα γάρ φησι πρὸς αὐτὸν ὁ Χρηματίζων Δεσπότης· ποιήσεις πάντα κατὰ τὸν τύπον, τὸν δειχθέντα σοὶ ἐν τῷ ὄρει. Ὁ δὴ καὶ Παῦλος ὁ μέγας ὑποδεικνὺς ὕστερον, σκιὰν φησι

дительности Своей (ст. 22). И опять: *кто неразуменъ, пусть обратится ко мнѣ. Идите, ѣшьте хлѣбъ мой, и пейте вино, мною растворенное* (IX, 4. 5). Не ново-жъ вовсе и не странно для священнаго Писанія—божественныя тайны выражать въ нѣкіихъ священныхъ символахъ, образахъ и притчахъ. Потому что почти всѣ пророки, люди свѣдущіе и богословы ветхозавѣтные, и сами посредствомъ символовъ воспринимали предметы божественные, и большинству ихъ научали другихъ посредствомъ иносказаній (притчей), представленій и символовъ. Такъ Исаія говоритъ: *видѣлъ я Господа на престолѣ высокомъ и превознесенномъ, и Серафимовъ вокругъ его* (VI, 1. 2). И опять: *у Возлюбленнаго былъ виноградникъ на отрогѣ горы, на мѣстѣ тучномъ*, и *точило* и *башня* (V, 1. 2)—и прочее. Такъже: *кто это идетъ отъ Едома, въ червленыхъ одеждахъ отъ Восора* (2 XIII, 1)? И: *отъ чего одѣяніе Твое красно, и ризы у Тебя какъ у топтавшаго въ точилѣ* (ст. 2)? А святый Іезекіилъ такъ же, говорится, видѣлъ Бога на престолѣ и облакѣ, прибавляя къ сему видѣнію престолы, одежды и пояса изъ огня, золота и янтаря (Іез. 1, IX, X), и къ тому еще колеса движущіяся и живыя, полныя очей и крыльевъ, и при этомъ

τῶν μελλόντων εἶχεν ὁ νόμος, οὐκ αὐτὴν τὴν τῶν πραγμάτων ἀλήθειαν. Ἐπὶ δέ γε τῶν τῆς καινῆς διαθήκης καινῶν μυστηρίων, ἔνθα παρῆλθε μὲν ἡ τοῦ νόμου σκιά, χάριτος δὲ πάντα πλήρη καὶ ἀληθείας, τί χρὴ καὶ λέγειν, ὅπουγε τὸν Δεσπότην αὐτὸν ὁρῶμεν τῶν μυστηρίων οὐ μόνον δι' αἰνιγμάτων καὶ παραβολῶν ὁμιλοῦντα τοπλεῖστον, ἀλλὰ καὶ τὰ μυστικὰ καὶ θειότατα συμβόλοις ἱεροῖς τοὺς ἀποστόλους μυοῦντα. Καὶ πρὸς τούτῳ πολλά τε καὶ μέγιστα τῶν καθ' ἡμᾶς ἱερῶν μυστηρίων μετ' αὐτὸν ἐκεῖνον αὖθις ἐκεῖνοι τὰ μὲν τῆς παλαιᾶς καθυπερβολὴν ὑπερβαίνοντα πάντα, καθόσον δήπου καὶ τὰς σκιάς φημι καὶ τὰς ἀμυδρὰς φαντασίας αὐτὰ τὰ ὄντα καὶ αἱ ἀλήθειαι τῶν πραγμάτων, οὐ μήν, οὐδὲ τὸ συμβολικὸν ἀποβαλόντα καθάπαξ, ἀναγκαῖον ὡς μάλιστα καὶ πεφυκὸς ὄν, ὡσάν τις εἴποι, τῷ κοινῷ καὶ καθόλου τῆς ἐκκλησίας. Εἰ μὲν γὰρ νοῦς ἦμεν ἁπλοῦς τις καὶ μονοειδὴς μόνον, καὶ ἀπαθὴς ὅλως τὴν φύσιν, ἁπλαῖς ἂν καὶ ἀπαθέσι ταῖς θεωρίαις τοῖς θείοις πράγμασιν ἐπεβάλλομεν μόνον, ἀμέσως ἐκ πρώτης καὶ δίχα τῶν ἐκείνοις ἐνούμενοι δήπου κατὰ μίμησιν τῶν ὑψηλοτέρων τὲ καὶ ἀΰλων νόων, ὅπερ ἔφη τις τῶν ὑψηλῶν θεολόγων. Ἐπεὶ δὲ καὶ τοῦτο κἀκεῖνο πεφύκαμεν, καὶ τὸ μέν ἐστι νοῦς, τὸ δὲ, πρὸς τὰς αἰσθήσεις καὶ τὰ κάτω πεφυκος βλέπειν, ἐκεῖθεν τὰς τῶν πραγμάτων φαντασίας συλλέγει, κἀντεῦθεν εἴς γε τὰ μεριστὰ διανοήματα καὶ τὴν ἐντεῦθεν καταγινόμεθα γνῶσιν, διὰ τοῦτο καὶ συμβόλων αἰσθητῶν ἐξανάγκης χρήζομεν

данный ему въ необычную сѣдь свитокъ книжный, который онъ тотъчасъ съѣлъ и нашолъ его и горькимъ (11, 10) и сладкимъ (III, 3). Даніилъ же видитъ Ветхаго днями, Творца вѣковъ, престолы и книги, и рѣку огненную, и на облакахъ идущаго какъ бы Сына человѣческаго, и битвы нѣкіихъ звѣрей между собою, и побѣды и пораженія (Дан. VII), и прочее, что въ видѣніи. Опускаю многое у пророковъ, заключающее много символическаго и загадочнаго не въ словахъ только и видѣніяхъ, а и дѣлахъ чувственныхъ. Такъ, когда одинъ изъ нихъ по повелѣнію Божію беретъ себѣ жену блудницу и раждаетъ дѣтей блуда (Ос. 1, 2), по предреченію; а другой, сперва возложивши себѣ на выю ярма, такъ изрекаетъ божественные глаголы (Іер. XXVII, 2). Елисей же чудный не прежде воскрешаетъ отрока изъ мертвыхъ, какъ сперва легши надъ нимъ и приложивши уста свои къ его устамъ и свои глаза къ его глазалъ и всѣ члены свои къ мертвымъ членамъ его; и это — не однажды и не дважды, но семь разъ (4 Цар. IV). И такимъ образомъ тотчасъ возставилъ лежащаго какъ-бы отъ сна. Да и великій оный Моисей (обращу рѣчь къ болѣе общимъ вещамъ) всякой тайнѣ перваго Завѣта и научается посредствомъ символовъ и образовъ,

καὶ εἰκόνων. Ἵν' ἐπειδὴ τοῖς ὑπὲρ ἡμᾶς πράγμασιν ἀμέσως ἐπιβάλλειν οὐκ ἔχομεν, ὅπερ εἶπον, διόλου, λόγοις καὶ πράγμασιν αἰσθητοῖς αὖθις διά τινων εἰκόνων καὶ τύπων καταλλήλως ἡμῖν αὐτοῖς ὁδηγώμεθα πρὸς ἐκεῖνα τὰ κεκρυμμένα. Οὐχ ἵνα τούτοις ἐναπομείνωμεν, εἰκόσι τὲ καὶ συμβόλοις ὡσπερεὶ δεδουκότες· οὐδὲ γὰρ ἂν εἶεν ὁδηγοί τε καὶ σύμβολα, παρ' ἑαυτοῖς καθάπαξ κατέχοντα τοὺς παρεπομένους· ἀλλὰ χρὴ κατὰ τὸν μέγαν εἰπεῖν Διονύσιον αὐτὰ περιελόντας τὰ σύμβολα μετὰτὴν αὐτῶν φημι χρῆσιν αὐτὰ καθ' ἑαυτὰ γυμνὰ καθορᾶν τὰ θεῖα καὶ τῆς ἱερᾶς ἐκείνων λαμπρότητος μετέχειν ἀξίως. Ὅτι δὲ τὸ μὲν ἁπλοῦς καὶ ἁπλοῦν τῆς ψυχῆς, ὅπερ αὐτὸς ὁ νοῦς ἐστι καθαρθεὶς ἢ καθαιρόμενος τέως, ἁπλῶς τὲ καὶ ἀμερίστως πέφυκεν ἑνοῦσθαι τοῖς θείοις, αὐτοῖς ἐκείνοις τοῖς ἐντὸς κάλλεσι γυμνὸς παντὸς αἰσθητοῦ τοῦ προκαλύμματος γυμνοῖς ἐπιβάλλων, τὸ δὲ παθητικὸν ἐκείνης αἰσθήσει καὶ φαντασίᾳ χρώμενον καταφύσιν, διὰ τῶν προδεικνυμένων αἰσθητῶν ἐκείνων συμβόλων ἅμα τὲ θεραπεύεται καὶ πρὸς τὴν τῶν κεκρυμμένων λαμπρῶς εἰσάγεται καλλονήν τε καὶ γνῶσιν, δῆλον ἐκεῖθεν. Οὐ γὰρ μόνον τὰ κεκρυμμένα καὶ ἀφανῆ διὰ τῶν φαινομένων συμβόλων ἡ θεία διδασκαλία, καθάπερ εἶπον, ἐκφαίνει, ἀλλὰ καὶ τοῖς ἐγνωρισμένοις καὶ δήλοις πολλάκις εἰκόνας τινὰς καὶ σύμβολα διὰ πραγμάτων τὲ καὶ λόγων ἐπάγει, ὡς τῶν ἀνθρώπων φυσικῶς διὰ τούτων αὐτῶν μᾶλλον ὅπερ ἔφην ἐπαρμένων καὶ πειθομένων. Οὕτω τὸν θαυμαστὸν Ἰω-

и научаетъ, опять, народъ Божій. Ибо говоритъ ему Владыка, повелѣвая: смотри, *сдѣлай все по образцу, который показанъ тебѣ на горѣ* (Исх. XXV, 9. XXVI, 30). На это въ послѣдствіи указывая и великій Павелъ, говоритъ: *законъ имѣлъ тѣнь будущихъ благъ, а не самую истину вещей* (Евр. X, 1). А о новомъ завѣтѣ новыхъ таинъ, когда престала тѣнь Закона, и все исполнилось благодати и истины (Іоан. I, 17), что и говорить? Тутъ видимъ, что самъ Владыка таинъ не только говоритъ много посредствомъ иносказаній и притчей, но и апостоловъ научаетъ таинственнымъ и божественнымъ предметамъ чрезъ священные символы. И къ сему, многія и величайшія изъ нашихъ священныхъ таинъ послѣ Него опять они (предали въ символахъ),—таины, несравненно превышающія все ветхозавѣтное, какъ самая дѣйствительность и истина вещей превосходятъ тѣни и неясныя очертанія, и однако вовсе не отбросившія символизма, совершенно необходимаго и, какъ сказалъ бы иной, свойственнаго общности и повсемѣстности Церкви. Потому что, если бъ мы были какимъ либо простымъ умомъ и единовиднымъ (неизмѣннымъ) и всецѣло безстрастнымъ по природѣ, то простыми и безстрастными умозрѣніями только вос-

νὰν ἡ θεία διδάσκει πρόνοια τὸ δίκαιον τῆς θείας φιλανθρωπίας. μετὰ τὸ φρικτὸν ἐκεῖνο ναυάγιον καὶ τὴν ἐκ τοῦ κήτους ἀνάδυσιν καὶ ὑπερφυᾶ σωτηρίαν ἀλύοντι καὶ τὴν ζωὴν ἀπολεγομένῳ διὰ τὸ φεύσασθαι δῆθεν τὴν κατὰ τῆς Νινευὶ προφητείαν, κολοκύνθῃ καὶ σκώληκι καὶ τοῖς κατ' αὐτὰ συμβόλοις καὶ τύποις ἐναργεστέρων ὥσπερ ὑποδείξασα τὸ θεοπρεπὲς ὁμοῦ καὶ φιλάνθρωπον. καὶ οἷον ἀκόλουθόν τε καὶ εναρμόνιον τῶν γεγενημένων. Οὐ μὴν, ἀλλὰ καὶ Χριστὸς αὐτὸς μετὰ ταῦτα τῷ φαρισαίῳ προσδιαλεγόμενος Σίμωνι, δυσχεραίνοντι τῇγε τῆς πόρνης ἁφῇ καὶ τῇ χρίσει τοῦ μύρου, τὴν εἰκόνα τοῦ δανειστοῦ καὶ τῶν διττῶν ἐκείνων ὀφειλετῶν ἀναπλάττει, πρᾶγμα γεγονὸς ἤδη παρ' αὐτοῦ, τὴν τῶν ἁμαρτημάτων φημὶ τῶν πολλῶν τῆς γυναικὸς λύσιν, εἰκόνι καὶ συμβόλοις σαφηνίζων τῷ λόγῳ, ὡς μηδ' ἔχειν ὅλως ἐντεῦθεν μηδὲ γρύξαι τοὺς ἀντιλέγειν ἐπιχειροῦντας. Ὃ δὴ καὶ πρὸς τὸν βάσκανον ἀρχισυνάγωγον ἐκεῖνον, τὴν συγκύπτουσαν θεραπεύων, ὡσαύτως ἐποίει, διὰ τὴν τοῦ σαββάτου λύσιν δυσχεραίνοντα δῆθεν. Καὶ τῶν Σαμαρειτῶν δὲ συρρεόντων αὖθις μετὰ τὴν τῆς γυναικὸς πίστιν πρὸς τὴν ἐκείνου διδασκαλίαν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, πρὸς τοὺς μαθητὰς ἔλεγε, καὶ ἴδετε, ὅτι αἱ χῶραι λευκαί εἰσιν ἤδη πρὸς θερισμόν. Καὶ πάλιν. Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι. Δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ, ἵνα ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. Καὶ ὅσα παραπλήσια τῆς θείας ἐκείνου διδασκαλίας εἰκόσι καὶ συμβόλοις οὐ τὰ κεκρυμμένα καὶ ἀπόρ-

принимали бы божественные предметы, непосредственно съ перваго (явленія ихъ) и безъ символовъ соединяясь съ ними по примѣру высшихъ и невещественныхъ умовъ, какъ сказалъ нѣкто *) изъ высшихъ богослововъ. А такъ какъ мы по природѣ и это и то, и одно есть умъ, другое, по природѣ обращаясь къ чувствами и предметами дольными, отсюда пріобрѣтаетъ представленія о вещахъ, и такимъ образомъ мы доходимъ до частныхъ мнѣній и засимъ до знанія, то понеобходимости имѣемъ нужду и въ символахъ чувственныхъ и въ образахъ. Такъ что, поелику, какъ я сказалъ, мы совсѣмъ не можемъ непосредственно приникать въ предметы, высшіе насъ, то словами и вещами чувственными тотчасъ чрезъ нѣкія подобія и образы соотвѣтственно намъ самимъ путеводимся къ тѣмъ сокровеннымъ вещамъ, - не чтобы оставаться при сихъ образахъ, какъ бы пропадая въ подобіяхъ и символахъ (потому что навсегда удерживающее при себѣ почитателей не было бы путеводствующимъ и символическимъ); но, скажемъ съ великимъ Діонисіемъ, надлежитъ, отрѣшившись отъ самихъ символовъ послѣ, то есть, примѣненія ихъ,

*) См. Діонисія Ареоп. Онебесной Іерархіи, гл. 1. § 2. VII, § 1—3. Максима Испов. Примѣчанія на эту книгу.

ῥητα μόνον, ἀλλὰ καὶ τὰ δῆλα καὶ γινόμενα. ναὶ μὴν καὶ τὰ γεγονότα σαφηνιζούσης πολλάκις. Ἐντεῦθεν καὶ τῶν καθ' ἡμᾶς ἱερῶν διδασκάλων οἱ πλεῖστοι τὴν σαφῆ περὶ τῆς Μεγάλης Τριάδος θεολογίαν ὀλ αἰσθητῶν τινων ἔσπευσαν καθόσον οἷόντε μᾶλλον ὁ ἀσαφῆσαι συμβόλων, πηγήν καὶ ποταμὸν καὶ ὕδωρ, δένδρον τε καὶ ῥίζαν, καὶ καρποὺς αὐτοῦ στελέχη, καὶ πρὸ τούτων τὴν καθ' ἡμᾶς ψυχὴν καὶ τὸν λόγον, σύμβολά τινα καὶ εἰκόνας τοῦ ἑνὸς καὶ τρισυποστάτου, καὶ προσέτι τοῦ ὁμοουσίου καὶ ἀσυγχύτου ἐπινοήσαντες ἐκείνης. Οὕτω καὶ πῦρ τὸν Θεὸν, καὶ δικαιοσύνης ἥλιον τὸν Χριστὸν καλοῦσι, καὶ τὴν ἐκφανεῖσαν αὐτοῖς πράγμασιν ἡνωμένως πάλαι θείαν αὐτοῦ καὶ ἀνθρωπίνην ἐνέργειαν αἰσθητοῖς ὑπογράφουσι συμβόλοις, πυρὶ καὶ μαχαίρᾳ ταύτην παραδεικνύντες, τεμνούσῃ τὲ καὶ καιούσῃ καταταυτὸ τὸ παρατυχὸν σῶμα, καὶ τῇ τομῇ τε καὶ καύσει τὸ ἡνωμένον ἅμα καὶ διακεκριμένον τῆς διπλῆς ἐνεργείας ὑποδεικνύσῃ. Καὶ μὴν καὶ τὴν παναγίαν Παρθένον μετὰ τὸ Θεοτόκον γενέσθαι καὶ πᾶσιν ἐκφανῆναι τὸ μυστήριον, ὅτι Θεοῦ Μητὴρ κεχρηματίκε καταλήθειαν ἀνθρώπου γενομένου διὰ φιλανθρωπίαν, ὠδαῖς ἀνυμνοῦσι καὶ λόγοις, πολὺ τὸ συμβολικὸν ἔχουσι καὶ αἰνιγματῶδες. Μυστικὸν γὰρ παράδεισον αὐτὴν ἀνυμνοῦσι καὶ πηγὴν ὕδατος ζῶντος, θρόνον τὲ καὶ καθέδραν βασιλέως, καὶ θύραν τοῦ μυστηρίου, καὶ κλεῖδα τῶν ὑπερφυῶν βασιλείων καὶ βασίλειον αὖθις οὐρανόν τε καὶ πρωϊνὸν ἀστέρα καὶ ὄρθρον καὶ ἄττα τοιάδε, τὸ σαφὲς ὅπερ ἔφην

устремлять взоръ на божественныя дѣйствія сами по себѣ и достойно пріобщаться священной свѣтлости оныхъ. И что безстрастной и простой части души, которая есть самый умъ очищенный или пока очищаемый, свойственно простое и нераздѣльное единеніе съ божественными предметами, свободно отъ всякаго чувственнаго прикрытія приближающейся къ самымъ тѣмъ неприкровеннымъ внутреннимъ красотамъ, а страстная *) часть ея, согласно природѣ пользуясь чувствованіемъ и воображеніемъ, чрезъ указанные оные чувственные символы и получаетъ помощь и свѣтло возводится къ созерцанію красоты и познаванію вещей сокровенныхъ, ясно отсюда. Потому что Божественное Ученіе не только сокровенное и нелѣпенное являетъ, по сказанному мною, чрезъ видимые символы, но и къ познанному и открытому часто присоединяетъ нѣкоторые образы и символы въ дѣйствіяхъ и рѣчахъ, такъ какъ люди естественно больше, какъ я сказалъ, ими возбуждаются и трогаются. Такъ промыслъ Божественный чуднаго Іону научаетъ правдѣ человѣколюбія Божія, ему, послѣ страшнаго опаго верженія съ корабля и возвращенія изъ чрева китова

*) То есть—чувственное движеніе желательной силы, состоящее въ представленіи добра или зла. Дамаскина Точное Изл. Вѣры, кн. II, глава 25).

ἐκεῖνο καὶ πᾶσιν ἐγνωσμένον καὶ λόγοις καὶ πράγμασιν, ὅτι Θεοῦ Μητὴρ ἀληθῶς ἡ Παρθένος, συμβόλοις καὶ εἰκόσι καὶ πράγμασιν αἰσθητοῖς αὐθις οἱονεὶ ταῖς ψυχαῖς ἐνιδρύσαι μηχανώμενοι τῶν ταῖς αἰσθήσεσι καὶ τοῖς αἰσθητοῖς προσπασχόντων ἀνθρώπων. Καὶ κάλλιστον ὄντως γε καὶ θεῖον τοῦτὶ τὸ χρῆμα, καὶ πανσόφως τῇ σοφῇ ῥεμηχανημένον προνοίᾳ, τοῖς μὲν ἀμυήτοις καὶ λόγῳ καὶ πράξει πόῤῥω που τοῦ καθ' ἡμᾶς ἑστάναι βουλομένοις συλλόγου τὴν εἴσοδον ἀποκλεῖον τὴν πρὸς τὰ θεῖα καὶ πόῤῥω τοὺς ἀνιέρους ἀποπεμπόμενον, κατὰ θείαν δηλαδὴ καὶ δικαιοτάτην δίκην· μὴ βάλητε γάρ φησι τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μηδὲ δῶτε τὰ ἅγια τοῖς κυσί· τοὺς δὲ μύστας τοῦ λόγου καὶ περὶ τὴν τοῦ ἀγαθοῦ κτῆσιν ἐσπουδακότας, οὓς δὴ καὶ ἐμπόρῳ τινὶ ζητοῦντι καλοὺς μαργαρίτας ὁ θεῖος προσφυῶς παραβάλλει λόγος, σπουδαιοτέρους καὶ νήφοντας ἐργαζόμενον περὶ ταῦτα. Δι' ἃ δήπου καὶ ὁ κοινὸς πάντων Σωτὴρ καὶ Δεσπότης περὶ μὲν τῶν ἐκτὸς ἐκείνων, διατοῦτο αὐτοῖς ἐν παραβολαῖς, ἔλεγε, λέγω, ἐπειδὴ βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν, οὐδὲ συνιοῦσι, καθά φησι περὶ αὐτῶν Ἡσαΐας. Τοῖς δὲ μαθηταῖς καίτοιγε κατὰ σχολὴν ἐπιλύων πάντα· ὑμῖν γάρ φησι δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας, ἐκείνοις δ' ἐν παραβολαῖς πάντα γίνεται· ὅμως ἐπιπλήττει μετατοῦτο καὶ σκώπτει, νωθείαν ὀνειδίζων καὶ ἀμαθίαν. Ἀκμὴν γάρ φησι καὶ ὑμεῖς ἀσύνετοί ἐστε καὶ οὐ βλέπετε οὐδ' ἀκούετε, καίτοιγε

и сверхъестественнаго спасенія огорчившемуся и отказывавшемуся отъ жизни изъ-за того, что не исполнилось пророчество противъ Ниневіи, клещевиннымъ растѣніемъ и червемъ и сопряженными съ ними символами и образами дѣйствительнѣе представивши какъ богоприличіе дѣйствія и человѣколюбіе Свое, такъ и послѣдовательность и правильность произшествій. А еще лучше, самъ Христосъ въ послѣдствіи бесѣдуя къ Симону фарисею, негодовавшему на прикосновеніе блудницы и помазаніе миромъ, представляетъ образъ заимодавца и двухъ должниковъ его (Лук. VII, 36—48), содѣянное Имъ теперь дѣло, разумѣю прощеніе многихъ грѣховъ сей женщины, словесно уяснял подобіемъ и символами, такъ что хотѣвшіе противорѣчить вовсе ничего затѣмъ сказать не имѣли. Такъ же поступилъ, исцѣляя скорченную (Лук. XIII, 11—17), и относительно завистливаго начальника синагоги, негодовавшаго на нарушеніе субботы. Да и когда Самаряне, тотчасъ послѣ увѣрованія жены, стекались къ Его ученію, Онъ сказалъ ученикамъ: *подымите очи ваши и посмотрите на нивы, какъ онѣ побѣлѣли и поспѣли къ жатвѣ* (Іоан. IV, 35). И опять: *жатвы много, а дѣлателей мало. Итакъ молите Господина жатвы, чтобы выслалъ*

καὶ ὀφθαλμοὺς κεκτημένοι καὶ ὦτα; Πῶς οὐ νοεῖτε, ὅτι οὐ περὶ τῆς ζύμης τοῦ ἄρτου, ἀλλὰ περὶ τῆς διδαχῆς τῶν φαρισαίων ὑμῖν εἶπον; Καὶ τί χρὴ τἄλλα λέγειν, ὅπουγε καὶ πρὸς αὐτῷ τῷ σταυρῷ καὶ τῷ πάθει γενόμενος, συμβόλοις μὲν ἱεροῖς, καθάπερ ἔφθην εἰπὼν, τῶν φρικτῶν ἐκείνοις κοινωνεῖ μυστηρίων, τῷ δὲ κατὰ τὸν νιπτῆρα σοφῷ δράματι τὴν ὑψηλὴν καὶ τελειοτάτην μυεῖ ταπεινοφροσύνην; Εἶτα καὶ λόγοις ὡσανεὶ διατιθέμενος καὶ τὰ ἐξιτήρια προσλαλῶν ἐκείνοις, λέγει μὲν καὶ προδείκνυσιν ἀπερικαλύπτως καὶ τὰ μετολίγον ἐσόμενα δήπου, καὶ τῷ Πατρὶ γνησίως αὐτοὺς παρατίθησιν ἐνευδομένου σχήματι δῆθεν. Οὐ μὴν, οὐδ' ἐνταῦθα τοῦ συμβολικοῦ καὶ παροιμιώδους ἀφίσταται τοπαράπαν. Ἄμπελον γὰρ καὶ κλήματα καὶ γεωργὸν ἐργαζόμενον ἐπεισάγει τῷ λόγῳ, ἑαυτὸν δηλονότι σὺν τοῖς μαθηταῖς εἶναι συμβολικῶς ταῦτα φάσκων καὶ τὸν αὐτοῦ Πατέρα. Καὶ πάλιν· ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου φησὶ μοναὶ πολλαί εἰσι. Καὶ· ἐὰν πορευθῶ καὶ ἑτοιμάσω ὑμῖν τόπον. Καὶ αὖθις· ὑμεῖς ἐστὲ οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου, κἀγὼ διατίθεμαι ὑμῖν βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου, καὶ ὅσα ταῦτα. Καὶ τοῦτ' αὐτὸ δεικνὺς ἐφεξῆς, ὅτι τὸ συμβολικὸν καὶ παροιμιῶδες κάλλιστόν τι καὶ ἀναγκαῖον αὐτοῖς διὰ τέλους, ἐν τῷ μέλλοντι μόνον αἰῶνι καὶ τῇ παντελεῖ τῶν πάντων ἀποκαταστάσει καὶ αὐτὸ λυόμενόν τε καὶ παυόμενον ὁμοίως τοῖς ἄλλοις, ἄρτι φησὶν ἐν παροιμίαις λελάληκα ὑμῖν, ἀλλ' ἔρχεται

дѣлателей на жатву Свою (Мѳ. IX, 37. 38), и весьма часто божественное Его ученіе не сокровенныя только вещи и неизреченныя, но и явныя и бывающія, даже и бывшія, уясняетъ подобіями и символами. Посему и многіе изъ нашихъ священныхъ учителей ясное богословіе о Великой Троицѣ старались, на сколько возможно, болѣе уяснить посредствомъ чувственныхъ нѣкіихъ символовъ, символами нѣкіими и подобіями единства Божія и трипостасности, а такъже и единосущности и неслитности Троицы, представляя *) источникъ, рѣку и воду, дерево, корень и плоды одного и тогоже ствола, и прежде сихъ подобій—нашу душу, умъ и слово. Такъ и огнемъ называютъ Бога (сн. Евр. XII, 29), и Солнцемъ правды (сн. Мал. IV, 2)—Христа, и соединенно проявленное нѣкогда въ самыхъ дѣлахъ божеское Его и человѣческое дѣйствованіе оттѣнлютъ чувственными символами, сравнивая **) его съ огнемъ и мечемъ, который въ одно и тоже время сѣ-

*) Напр. Тертулліанъ въ кн. adversus Praxeam сар. 8; Григорій Богословъ въ словѣ 31 (о Богословіи 5), Григорій Нисскій въ 1-й кн. противъ Евномія.

**) Дамаск. Точное изложеніе Вѣры III, 15. „Въ разженномъ мечѣ какъ два естества сохраняются, такъ и два дѣйствія, и ихъ окончанія“—и проч.

ὥρα, ὅτε οὐκέτι ἐν παροιμίαις, ἀλλὰ παῤῥησίᾳ περὶ τοῦ Πατρὸς ἀναγγελῶ ὑμῖν. Ἐπεὶ τοίνυν οὕτω δια πολλῶν κάλλιστόν τε καὶ ἀναγκαῖον τὸ συμβολικόν τε καὶ παροιμιακὸν ἀνεφάνη τοῦ λόγου, τοὺς μὲν ἀπειθεῖς τε καὶ ἀνιέρους τῶν ἱερῶν πραγμάτων τὲ καὶ λόγων ἀξίως ὅπερ ἔφην ἀπεῖργον, τὸ δὲ παθητικὸν τῆς ἡμετέρας ψυχῆς καὶ ταῖς αἰσθήσεσι σύν γε τοῖς αἰσθητοῖς καταφύσιν προσπάσχον πῇ μὲν διὰ τῶν οἰκείων ἐκείνοις θεραπεῦον συμβόλων, πῇ δὲ καὶ πρὸς ἔρευναν καὶ γνῶσιν ἀληθῆ τῶν κεκρυμμένων ἐνάγον, καὶ διὰ τοῦτο καὶ τὴν ἱερὰν καταταυτὰ θεολογίαν ὁρῶμεν· διὰ πάσης τῆς παλαιᾶς τε καὶ νέας ὡς ἐπιτοπλεῖστον ἐκείνῳ χρωμένην, οὐ περιττῶς οὐδ' ἡμεῖς οὐδ' ἔξω που τοῦ καθήκοντος οἶμαι λόγου τὸν περὶ τούτου προεθέμεθα λόγον, οὐ μόνον ὅτι τοῖς συμβολικοῖς τῆς σοφίας ἐπιχειροῦμεν καὶ αὐτοὶ νυνὶ λόγοις, ἀλλ' ὅτι καὶ πρός γε τὸν παραβολικόν τε καὶ συμβολικὸν πάντα τῆς θείας Γραφῆς λόγον ἡμῖν τε καὶ πᾶσι τοῖς τὰ τοιαῦτα σπουδάζουσι σφόδρα γε ἀναγκαῖα καὶ λυσιτελῆ τὰ ῥηθέντα.

четъ и жжетъ какое нибудь тѣло, и въ сѣченіи и женіи указываетъ на неразрывность и вмѣстѣ различіе двоякаго дѣйствія. И всесвятую Дѣву, послѣ того какъ содѣлалась она Богородицею и всѣмъ явлена была тайна, что она есть воистину Матерь Бога, содѣлавшагося человѣкомъ по человѣколюбію, воспѣваютъ пѣснями и словами, заключающими въ себѣ много символическаго и гадательнаго. Ибо называютъ ее въ пѣснѣхъ таинственнымъ раемъ, источникомъ воды живой, престоломъ и сѣдалищемъ Царя, дверью таинства, ключемъ къ сверхъестественнымъ обителямъ царскимъ и царскимъ, опять, чертогомъ, небомъ и звѣздою утреннею и зарею и иными подходящими именами, посредствомъ символическихъ очертаній и подобій и предметовъ чувственныхъ стараясь въ душахъ людей, одаренныхъ чувствами и движимыхъ предметами чувственными, укрѣпить мысль ясную, какъ я сказалъ, и всѣмъ извѣстную по словамъ и дѣламъ, что Матерь Божія есть истинно Дѣва. И это— воистину превосходное и божественное средство, и премудро устроенное премудрымъ Промысломъ, для непосвященныхъ, и словомъ и дѣломъ хотящихъ стоять вдали отъ нашего собранія, затворяющее входъ въ тайны Божественныя и отрѣвающее

невѣждъ отъ предметовъ священныхъ (по божественному очевидно и справедливѣйшему суду; пот. что говоритъ: *не бросайте жемчуга вашего предъ свиньями и не давайте святыни псамъ*—(Мѳ. VII, 6), а учениковъ Слова и стремящихся къ пріобрѣтенію добра, которыхъ Божественная притча прилично уподобляетъ купцу, ищущему хорошихъ жемчужинъ (Мѳ. XIII, 45), дѣлая старательнѣйшими и бодрственными относительно ихъ. Посему-то и общій всѣхъ Спаситель и Владыка о *внѣшнихъ* тѣхъ говорилъ: *для того имъ говорю притчами, что они видя не видятъ, и слыша не слышатъ, и не разумѣютъ, какъ говоритъ о нихъ Исаія* (Мѳ. XIII, 13, 14). А ученикамъ хотя въ свободное время объясняетъ все (*потому что*, говоритъ, *вамъ дано знать тайны царствія, а имъ все бываетъ въ притчахъ*—ст. 11. Мар. IV, 11), но и послѣ сего укоряетъ и выговариваетъ, порицая тупость и невѣжество. Ибо говоритъ: *еще ли и вы не разумѣете* (Мѳ. XV, 16), *и имѣя очи, не видите, и имѣя уши, не слышите* (Мар. VIII, 18)? *Какъ не понимаете, что не о хлѣбной закваскѣ Я сказалъ вамъ, но объ ученіи фарисейскомъ* (Мѳ. XVI, 11. 12)! И нужно ли говорить о другихъ случаяхъ, когда, прибли-

зившись къ самому кресту и страданію, священными символами, какъ я уже сказалъ, сообщаетъ имъ страшныя Тайны, а мудрымъ дѣйствіемъ при омовеніи поучаетъ высокому и совершеннѣйшему смиренномудрію? Затѣмъ и словами какъ бы завѣщавая и прощальныя рѣчи говоря къ нимъ, и скоро имѣющее послѣдовать неприкровенно говоритъ и предъуказываетъ имъ, и въ молитвѣ сердечно поручаетъ ихъ Отцу (Іоан. XVII). Но и здѣсь не удерживается вовсе отъ символическаго и приточнаго образа рѣчи. Потому что вводитъ въ рѣчи виноградную лозу, вѣтви и виноградаря воздѣлывающаго (Іоан. XV), ясно символически называя такъ Себя съ учениками и Отца Своего. И опять: *въ домѣ Отца Моего*, говоритъ, *обителей много*; и: *когда пойду и приготовлю вамъ мѣсто* (XIV, 2. 3). И еще: *вы пребыли со Мною въ напастяхъ Моихъ, и я завѣщаваю вамъ царство, чтобъ вы ѣли и пили за трапезою Моею* (Лук. XXII, 28—30), и прочее подобное. И далѣе, показывая, что символичность и приточность прекрасны и необходимы имъ до конца (вѣка), и только въ будущемъ вѣкѣ и всесовершенномъ возстановленіи всего (Дѣян. III, 21) и онѣ разрѣшатся и прекратятся подобно другимъ вещамъ (1 Кор.

XIII. 8—12), говоритъ: *досель Я говорилъ вамъ притчами; но наступаетъ время, когда уже не буду говорить вамъ притчами, но прямо возвѣщу вамъ объ Отцѣ* (Іоан. XVI, 25). И поелику такимъ образомъ по многимъ причинамъ оказывается прекрасною и необходимою символичность и приточность рѣчи, для невѣрующихъ и нечистыхъ справедливо, какъ я сказалъ, содѣлывая недоступными священные предметы и слова, а вожделѣвательную часть нашей души и естественно внимающую чувствамъ вмѣстѣ съ чувственными предметами частію удовлетворяя свойственными имъ символами, а частію и побуждая къ изысканію и истинному познаванію вещей сокровенныхъ, почему и священное Писаніе во всемъ ветхомъ и новомъ Завѣтѣ весьма часто употребляетъ ее, то, думаю, не безъ достаточнаго основанія мы предложили слово объ этомъ; не только потому, что и сами теперь приступаемъ къ изъясненію символическихъ рѣчей мудрости, но и потому, что сказанное относительно всякаго приточнаго и символическаго смысла божественнаго Писанія весьма необходимо и полезно и намъ, и всѣмъ, занимающимся такими предметами.

3. Ἡ σοφία φησὶν ᾠκοδόμησεν ἑαυτῇ οἶκον καὶ ὑπήρεισεν στύλους ἑπτά. Οἱ πλεῖστοι τῶν καθ' ἡμᾶς

3. *Премудрость*, говорится, *построила себѣ домъ и утвердила его на семи столпахъ.*

πατέρων καὶ διδασκάλων αὐτῷ τῷ τοῦ Θεοῦ μονογενεῖ Λόγῳ καὶ τῇ διὰ σαρκὸς ὑπὲρ ἡμῶν οἰκονομίᾳ ἐκείνου τὸν παροιμιακὸν ἁρμόζουσι τοῦτονὶ λόγον ἰδίᾳ. Ἐγενήθη καὶ γὰρ ἡμῖν ἀληθῶς, ὡς φησιν κοινὸς διδάσκαλος Παῦλος, ἀπὸ Θεοῦ σοφία τε καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις ὁ μονογενὴς Υἱὸς τοῦ Πατρὸς, ἡ ἐνυπόρτατος αὐτοῦ καὶ ζῶσα σοφία. Ὃ δὴ καὶ αὐτὸς ἐπαινῶν καὶ φρονῶν εἴπερ τις μετάγε παντὸς τοῦ τῆς ψυχῆς ὡρμηκότος καὶ τῷ λόγῳ καταλλαιρὸν ὡσὰν οἷός τε ὦ, δώσω προθύμως. Τὸ δὲ νῦν ἔχον, ἐπεί τινος ὁ σοφὸς οὑτοσὶ σοφίας φαίνεται μεμνημένος σπουδῇ καὶ πόνῳ κατορθουμένης, ἧς τὴν μὲν ἀρχὴν φόβον εἶναι τοῦ Θεοῦ λέγει, ἀρετὰς δέ γε τοὺς πόνους, ἀλλὰ καὶ γένος που παρεισάγει ταύτης τῷ λόγῳ. Γενεὰ γάρ φησι σοφίας φόβος Κυρίου, καὶ πλοῦτος καὶ δόξα καὶ ζωή, καὶ ὅτι σοφὸς καρδίᾳ δέξεται ἐντολάς. Καὶ αὖθις. Υἱὲ, ἐμῇ σοφίᾳ πρόσεχε, τῇ δὲ φρονήσει μου κλῖνον τὸ οὖς σου. Καὶ· μακάριος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς, ὃς οἶδε φρόνησιν. Καὶ· ὅτι μετὰ σοφίας οἰκοδομεῖται οἶκος, καὶ μετὰ συνέσεως ἀνορθοῦται. Καὶ· μετὰ αἰσθήσεως ἐμπίπλαται τὰ ταμιεῖα παντὸς πλούτου τιμίου καὶ καλοῦ, καὶ ἄττα τοιάδε. Ἐπεὶ τοίνυν οὕτω τὸν λόγον ἐπιπλεῖστον ἐκεῖνος προάγει διὰ παντὸς τοῦ βιβλίου, ἀναγκαῖον ὡσανεὶ καὶ ἡμῖν ἐφάνη τῷ ἐκείνου σκοπῷ καταδύναμιν ἑπομένοις τὴν ἄνωθεν ἁρμονίαν καὶ τὴν συμφωνίαν ὡς εἰπεῖν τοῦ λόγου τηρῆσαι· καὶ οὕτω τὸ τούτου πρόχειρον καὶ φαινόμενον ἀκολούθως ὡσὰν

Многіе изъ нашихъ отцовъ и *) учителей это приточное имя примѣняютъ въ частности къ самому единородному Слову Божію и Его во плоти о насъ домостроительству; потому что, какъ говоритъ общій учитель Павелъ (1 Кор. 1, 30), воистину *сдѣлался для насъ премудростію отъ Бога, праведностію и освященіемъ и искупленіемъ* единородный Сынъ Отца, ипостасная (личная) и живая **) Премудрость Его. Это и я признавая и, если только кто другой таковъ, со всѣмъ пыломъ души мысля, въ надлежащее время, насколько въ состояніи, охотно допущу и словомъ. А теперь, поелику сей мудрецъ упомянулъ о нѣкоей мудрости, достигаемой стараніемъ и трудомъ, которой началомъ поставляетъ страхъ Божій, а трудами — добродѣтели, да привноситъ въ рѣчи своей и порожденіе ея. Ибо говоритъ: *порожденіе мудрости есть страхъ Господень, и богатство и слава и жизнь* (Прит. XXII,

*) Ориг енъ въ толк. на Ев. Іоанна, Григорій Богословъ въ 30 словѣ (второмъ о Богѣ Сынѣ), Аѳанасій Великій во второмъ словѣ на Аріанъ, и другіе. Посему и Юстиніанъ императоръ выстроенный въ Константинополѣ соборный храмъ посвятилъ Премудрости Божіей, то есть Господу Іисусу Христу. Сн. Климента Алекс. Stromatum VI, 16.

**) Сн. Лук. XI, 49.

εἴπῃ τις κατά γε τὸ δυνατὸν ἀποδόντας, ἐπ' ἐκεῖνα τὰ τῶν ὑψηλῶν ὑψηλὰ καὶ τῶν μυστικῶν μυστικά τε καὶ θεῖα, ὥσπερ εἰς ἀσμάτων ἆσμα καὶ ἁγίων ἅγιά τινα παραπέμψαι καθόσον οἷόντε τὸν ἡμέτερον λόγον, μᾶλλον δὲ τοῖς προανελθοῦσι δυνάμει καὶ χάριτι θείου Πνεύματος, καὶ τουτονὶ συνανελθεῖν καὶ συμμίξαι, διδάξοντε καὶ ἡμᾶς, ἅπερ ἂν ἐκεῖθεν ἀκούσῃ καὶ μάθῃ.

4. Δεῖ τοιγαροῦν ὡς οἶμαι μαθεῖν ἡμᾶς πρὸ τῶν ἄλλων, τίς ἄρα καὶ ποταπὴ ἡ σοφία αὕτη, περὶ ἧς δή-

4); и: *мудрый сердцемъ приниметъ заповѣди* (X, 8). И еще: *сынъ, внимай мудрости моей, и къ разуму моему склоняй ухо твое* (V, 1). Такъ же: *блаженъ человѣкъ, который снискалъ мудрость, и смертный, который пріобрѣлъ разумъ* (III, 13) И: *съ мудростію устрояется домъ, и съ разумомъ утверждается* (XXIV, 3); *и съ умѣніемъ внутренности его наполняются всякимъ богатствомъ драгоцѣннымъ и прекраснымъ* (ст. 4). И многое подобное. Итакъ, поелику онъ въ такомъ большею частію тонѣ ведетъ рѣчь во всей книгѣ, то и мы сочли необходимымъ, по возможности слѣдуя намѣренію его, соблюдать высшую стройность и, такъ сказать, согласіе рѣчи; и такимъ образомъ по возможности послѣдовательно, какъ выразится иной, передавши открытыя и явныя мысли его, перевесть свою рѣчь, насколько возможно, на оные возвышеннѣйшіе, таинственнѣйшіе и божественнѣйшіе предметы, какъ бы въ Пѣснь Пѣсней и нѣкое Святое святыхъ, а всего лучше прибѣгнуть къ силѣ и благодати Духа Божія, да снидетъ къ намъ и подастъ совѣтъ, научитъ и насъ тому, что отъ Него услышитъ и узнаетъ (Іоан. XVI, 13).

4. Надлежитъ же намъ, думаю узнать прежде иного чего, какая и какова та мудрость, о

που καὶ ὁ σοφὸς τὸν πολὺν ἐκεῖνον φαίνεται ποιούμενος λόγον, περὶ ἣν αὐτός τε ταμέγιστα, καθά φησιν αὐτός, ἐσπουδάκει, καὶ ὑπὲρ ἧς τοῦ Θεοῦ δεηθεὶς αὖθις αὐτός τε παύτην ὑπὲρ πάντας ἐκτήσατο καθάπερ εἰπών ἔφθη, καὶ τοῖς μετ' αὐτὸν παιδευτὴς καὶ μυσταγωγὸς ἄριστος ἀνεφάνη, πόνους αὐτῆς καὶ ὁδοὺς καὶ τὴν ἐκεῖθεν ὠφέλειαν ὑποδεικνύων τοῖς βουλομένοις. Σκοπῶμεν δὲ οὕτως. Ἡ σοφία ἣ κάτω καὶ ἀνθρωπίνη τίς ἐστιν, ἣ ἄνω καὶ θεία Ἡ δὲ ἀνθρωπίνη πάλιν σοφία ἣ μερική τις ἐστὶν, ἣ καθόλου. Σοφὸν γὰρ τινα λέγομεν μερικῶς τὸν περί τινα τῶν λογικῶν ἢ πρακτικῶν ἐπιστημῶν τε καὶ τεχνῶν εὐδοκιμοῦντα. σοφὸν ἰατρὸν ἢ γεωμέτρην τυχόν, ἢ σοφὸν περὶ τὸ λέγειν καὶ γράφειν, ἢ περὶ τὰς βουλὰς ἢ τὰς πράξεις. Καὶ σοφὸν αὖθις περὶ τὸ οἰκοδομεῖν τε καὶ λίθους ξέειν, ὥσπερ ὃν φησιν ἀρχιτέκτονα σοφὸν ὁ σοφὸς Ἡσαΐας, καὶ γυναῖκας πάλιν σοφὰς ὁ θεῖος Ἱερεμίας, τὰς μέλη θρηνώδη τινὰ συντιθείσας· καὶ ὁτῷ Ἰὼβ δὴ χρηματίζων διὰ λαίλαπος καὶ νεφέλης γυναῖκας φησὶ σοφὰς τὰς δεινὰς περὶ τὴν ἱστουργικήν τε καὶ ποικιλτικήν, καὶ ὅσα τῆς γυναικωνίτιδος διὰ χειρῶν ἔργα. Σοφὸν δὲ καθόλου φαμὲν καὶ σοφίαν ὡσαύτως τὴν τῶν ὄντων γνῶσιν ἢ ὄντα εἰσί. Τῆς μὲν οὖν μερικῆς πέρι σοφίας οὐδὲ λέγειν ὅλως ἐνταῦθα δεῖν οἶμαι. Οὐδὲ γὰρ περί τινος τῶν τοιούτων τῷ σοφῷ νῦν προτρέχουμένως ὁ λόγος. Τῆς δὲ προρρηθείσης καθόλου σοφίας, εἴς τε τὸ θεωρητικὸν, ὃ δὴ καὶ λογικόν φασι, καὶ τὸ πρακτικὸν τεμνο-

которой именно и сей мудрый ведетъ длинную рѣчь, и, какъ самъ говоритъ, наибольше заботился (VIII, 18), и о которой затѣмъ помоливши Богу, и самъ пріобрѣлъ ее преимущественно предъ всѣми (3 Цар. III, 12), какъ я сказалъ уже, и живущимъ послѣ него оказался найлучшимъ наставникомъ и учителемъ, указывая желающимъ труды ея, и пути, и пользу отъ нихъ. Станемъ же такъ разсуждать. Мудрость есть или низшая и человѣческая, или высшая и божественная. И, опять, человѣческая мудрость есть или частичная, нѣкая, или общая. Пот. что мудрымъ называемъ кого нибудь въ частности опытнаго въ какой либо изъ словесныхъ или практическихъ наукъ и искуствъ, свѣдущаго врача или землемѣра напримѣръ, или умѣющаго говорить и писать, или совѣтника и дѣльца. И еще называемъ мудрымъ умѣющаго построить домъ и обдѣлывать камни, какъ напр. Исаія называетъ мудрымъ художника (Ис. III, 3), и вдохновенный Іеремія, опять, мудрыми—женщинъ, слагающихъ нѣкія плачевныя пѣсни (Іер. IX, 17); и Говорящій Іову изъ бури и облака называетъ мудрыми женщинъ, искусныхъ въ тканіи и испещреніи и другихъ ручныхъ произведеніяхъ женскихъ (Іов. XXXVIII. 36). Мудрымъ же вообще называемъ

μένης, τὸ μὲν περὶ λογικοὺς ἀγῶνας, συλλογισμούς τε ψηφὶ καὶ παραλογισμοὺς καὶ τὴν τοιαύτην ἀδολεσχίαν καταγίνεσθαι λέγειν τοῦτον, ἐάσωμεν τοπαράπαν, μήπου καὶ γελοῖον δόξωμεν καὶ ψευδές τι συμπλάττειν προδήλως, αὐτόθεν ἐλεγχομένου τοῦ λόγου. Τὸ γὰρ πεζὸν ἐκεῖνος ὡς μάλιστα καὶ ἁπλοῦν τοῦ λόγου μετὰ τῆς ἀληθείας πανταχοῦ φαίνεται προτιμήσας. Ὅτι δὲ καὶ δογμάτων σοφῶν καὶ παιδεύσεως ἠθικῆς, φυσιολογίας τε καὶ θεολογίας καὶ τῶν μεγίστων ἐννοιῶν αὐτῷ πλήρης ὁ λόγος, πολιτικός τε καὶ οἰκονομικός ἐστιν ἄκρος ὁ αὐτὸς εἴπερ τις τῶν πάντων, τίς ἀντερεῖ μὴ τὰς αἰσθήσεις καὶ τὴν διανοιαν ἔχων πεπηρωμένην; Ἢ τίνι τῶν ἐπὶ τούτοις πρωτείων ἐρεῖ τὶς προσήκειν ἑτέρῳ, τὸν σοφὸν παρελθὼν Σολομῶντα; Λύτὸς γὰρ οὗτός ἐστιν ὁ περὶ ἑαυτοῦ λέγων· ἐμοὶ δέδωκεν ὁ Θεὸς γνῶσιν ἀψευδῆ τῶν ὄντων εἰδέναι σύστασιν κόσμου καὶ ἐνέργειαν στοιχείων, ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων, τροπῶν ἀλλαγὰς καὶ μεταβολὰς καιρῶν, ἐνιαυτῶν κύκλους καὶ ἀστέρων θέσεις, φύσεις ζώων καὶ θυμοὺς θηρίων, διαφορὰς φυτῶν καὶ δυνάμεις ῥιζῶν, πνευμάτων βίας καὶ διαλογισμοὺς ἀνθρώπων.

по мудрости, по знанію существующаго, какъ оно существуетъ. *) Но о частной мудрости, по моему мнѣнію, вовсе тутъ не нужно говорить; потому что и мудрый нынѣ ни о какой изъ таковыхъ нарочито не ведетъ рѣчи. А такъ какъ упомянутая прежде всеобщая мудрость раздѣляется на теоретическую (созерцательную), называемую и словесною, и практическую (дѣятельную), то конечно не станемъ говорить, будто онъ имѣетъ цѣлью словесныя состязанія, разумѣю умозаключенія и обманчивые выводы и иную подобную болтовню, чтобы не показаться выдумывающими нѣчто смѣшное и ложное, тогда какъ имъ же обличается такое пониманіе; потому что онъ всюду является предпочитающимъ именно прозаическую и простую рѣчь. А что рѣчь у него, полная догматовъ мудрыхъ и нравственнаго назиданія, ученія о природѣ и богословствованія, и важныхъ разсужденій, есть въ тоже время и государственная (касающаяся общественнаго строя) и домостроительная, кто станетъ противорѣчить, если у него не

*) Σοφός по сродству съ σαφής, ясный, указываетъ по своему значенію на того, кто ясно уразумѣваетъ вещи. И сама „Мудрость (σοφία) учитъ, потому, что она есть нѣкоторая ясность“ (σαφεία), говоритъ Θеофилактъ (въ Толкованіи на 8 ст. XVI главы 1-го посл. къ Коринѳянамъ).

затемнились чувства и разсудокъ? Или кому другому присвоитъ въ этомъ первенство, обойдя мудраго Соломона? Ибо самъ онъ говоритъ о себѣ: *Богъ даровалъ мнѣ неложное познаніе существующаго, знать устройство міра и дѣйствія стихій, начало, конецъ и средину временъ, смѣны поворотовъ и перемѣны временъ, круги годовъ и положенія звѣздъ, природу животныхъ и свойства звѣрей, различія растѣній и силы корней, стремленія вѣтровъ и мысли людей* (Пр. VII, 17—80).

5. Ἀλλ' οὔπω τὴν σοφίαν ἐκείνην εὕρομεν, περὶ ἧς ὁ σκοπὸς ἅπας καὶ λόγος ἐκείνῳ. Ἡ μὲν γὰρ τοῦ κόσμου σοφία, γνῶσις οὖσα τῶν ὄντων ἢ ὄντα εἰσὶ, καθάπερ εἴπομεν ἤδη, τῶν προειρημένων ἐστὶ μητήρ· περὶ ἧς δήπου καὶ αὐτὸς ὁ σοφὸς αὖθις ἐκκλησιάζων ἔλεγεν ἐν ἑτέρῳ· ἔδωκα τὴν καρδίαν μου τοῦ γνῶναι σοφίαν καὶ γνῶσιν, καὶ καρδιά μου οἶδε πολλά· σοφίαν καὶ γνῶσιν, παραβολὰς καὶ ἐπιστήμην ἔγνων ἐγώ. Ὅτι καί γε ἔστι τοῦτο προαίρεσις πνεύματος. Ἡ σοφία δ' ἐκείνη, περὶ ἧς ὁ λόγος ἐνταῦθα τῷ Σολομῶντι, δωρεῖται μὲν ἐκ περιουσίας ὡς εἶπον κἀκείνῳ. Ἄλλη δέ τις ἐστὶ παρὰ ταύτην, πολλῷ τινι καὶ καθυπερβολὴν ὑπερκειμένη τῷ μέσῳ καὶ τοῖς ὅροις καὶ τῇ γενέσει καὶ τῇ πράξει καὶ τοῖς ἀποτελέσμασιν. Ἀρχὴ γάρ φησι σοφίας φόβος Κυρίου, καὶ γενεὰ σοφίας φόβος Κυρίου καὶ πλοῦτος καὶ δόξα καὶ ζωή.

5. Но мы еще не дошли до той мудрости, о которой у него и мыслится окончательно, и говорится. Потому что матерь вышесказаннаго есть мудрость мірская, знаніе существующаго, какъ оно существуетъ, по сказанному уже нами. О ней именно и самъ сей мудрый опять возвѣщая сказалъ въ другой книгѣ: *предалъ я сердце мое, чтобы познать мудрость и знаніе, и сердце мое познало многое. мудрость и вѣдѣніе, притчи и замысловатую рѣчь уразумѣлъ я; но и это—томленіе духа* (Екк. 1, 17). И эта премудрость, о которой здѣсь говоритъ Соломонъ, и ему дана въ изобиліи (Прем. VII, 7), какъ я сказалъ. Но есть мудрость иная нѣкая отъ сей (мірской), гораздо превосходнѣйшая и по источнику,

Καὶ αὖθις. Φόβος Κυρίου παιδεία καὶ σοφία καὶ ἀρχὴ δόξης αὐτοῦ ἀποκριθήσεται αὐτῇ. Καὶ· μακάριος ὃς εὗρε σοφίαν καὶ φρόνησιν. Μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς· ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, καὶ ξύλον ζωῆς ἐστι τοῖς ἀντεχομένοις αὐτῆς. Καὶ. Ὅτι μύστις ἐστὶ τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί. Ὅτι ἀθανασία ἐστὶν ἐν συγγενείᾳ σοφίας, καὶ ἐν φιλίᾳ αὐτῆς τέρψις ἀγαθή. Ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερόν, ἅγιον, ἀμόλυντον, φιλάγαρον, εὐεργετικόν, φιλάνθρωπον, καὶ διὰ πάντων χωροῦν πνευμάτων νοερῶν, καθαρῶν. Διήκει γὰρ καὶ χωρεῖ φησι διὰ πάντων διὰ τὴν καθαρότητα. Μία τὲ οὖσα πάντα δύναται, καὶ μένουσα ἐν ἑαυτῇ τὰ πάντα καινίζει. Διατείνει δὲ ἀπὸ πέρατος ἐπὶ πέρας εὐρώστως, καὶ διοικεῖ τὰ πάντα χρηστῶς. Τί γοῦν τούτοις κοινὸν καὶ τῇ σοφίᾳ τῶν ἔξω, ἧς ἕτεροι μὲν ὅροι, ἄλλαι δ' ἀρχαὶ καὶ διαιρέσεις, καὶ τέλος ἐκείνοις κατάλληλον;

и по объему, и по происхожденію, и по дѣятельности, и по слѣдствіямъ. Ибо говоритъ: *начало мудрости—страхъ Господень* (Прит. 1, 7) и: *порожденіе мудрости—страхъ Господень, богатство, слава и жизнь* (XXII, 4). И еще: *страхъ Господень есть обученіе и мудрость, и начало славы Его послѣдуетъ за нею* (XV, 33). И: *блаженъ человѣкъ, который снискалъ мудрость и разумъ;* потому что *долгоденствіе и лѣта жизни въ правой рукѣ ея* (III, 2. 13. 16). *Изъ устъ ея исходитъ правда, и она—древо жизни для тѣхъ, кои придерживаются ея* (ст. 16. 18). И: *она таинница ума Божія, и плоды ея суть добродѣтели* (VIII, 4. 7). *Въ родствѣ съ премудростію—безсмертіе, и въ дружествѣ съ нею—благое наслажденіе* (ст. 17. 18). Ибо *она есть духъ разумный, святый, невредительный, благодѣтельный, человѣколюбивый, и проникающій всѣ умные, чистые духи. Потому что,* говоритъ, *по чистотѣ своей проходитъ и проникаетъ сквозь все. И будучи одна, все можетъ, и пребывая въ самой себѣ, все обновляетъ* (VII, 22—27). *Распространяется же быстро отъ одного конца до другого, и все устрояетъ на пользу* (VIII, 1). Чтоже

6. Ἐπεὶ τοίνυν ἀποδέδεικται μηδαμῶς περὶ τῆς ἔξω σοφίας, μὴ τῆς καθόλου, μὴ τῆς μερικῆς, τὸν τοῦ λόγου σκοπὸν τῷ σοφῷ πεφυκέναι, λείπεται πάντως ἐξανάγκης τὴν θείαν εἶναι σοφίαν ἐκείνην, τὴν ἀληθινὴν δηλονότι καὶ πρώτην, ἣν ἐν μυστηρίῳ τοῖς τελείοις λαλοῦμεν ὁ μέγας φησὶ Παῦλος, τὴν ἀποκεκρυμμένην, ἣν οὐκ ἔγνωσαν οἱ σοφοὶ τοῦ αἰῶνος τούτου· ἧς δήπου κἀκεῖνο γνώρισμα, κατὰ τὸν σοφὸν Θεολόγον. βίος ἐπαινετὸς καὶ Θεῷ κεκαθαρμένος ἢ καθαιρόμενος τῷ καθαρωτάτῳ καὶ λαμπροτάτῳ, καὶ μόνην ἀπαιτοῦντι παρ' ἡμῶν θυσίαν, τὴν κάθαρσιν, ἣν δὴ καρδίαν συντετριμμένην καὶ θυσίαν αἰνέσεως καὶ καινὴν ἐν Χριστῷ κτίσιν καὶ νέον ἄνθρωπον καὶ τὰ τοιαῦτα τῇ Γραφῇ καλεῖν φίλον. Καὶ αὖθις. Σοφία πρώτη σοφίας ὑπερορᾷ, τῆς ἐν λόγῳ κειμένης καὶ στροφαῖς λέξεων καὶ ταῖς κιβδήλοις καὶ περιττοῖς ἀντιθέσεσι. Περὶ ταύτης τοιγαροῦν ὁ λόγος τῷ Σολομῶντι, ἥτις ἀρχὴν ὡς εἴρηται τὸν τοῦ Θεοῦ κεκτημένη φόβον, καὶ ὥσπερ ἐξ ἀφετηρίας τινὸς αὐτόθεν ὁρμῶσα, διὰ πασῶν ὁδεύει τῶν ἐντολῶν τοῦ Θεοῦ· σοφὸς γὰρ καρδία δέξεται ἐντολάς, καὶ οἱ πόνοι αὐτῆς φησιν εἰσὶν ἀρεταί· ἕως τοῦ τῶν παθῶν ὑπερσχοῦσα κλύδωνος, τοῖς λοιμέσι τῆς θείας ἀγάπης προσορμίσῃ τὸν κεκτημένον. Καὶ οὕτως ἐπιτηδείαν εὑροῦσα διὰ τῆς καθαρότητος τὴν φυ-

тутъ общаго съ мудростію внѣшнею, которой предѣлы—другіе, другія начала и распредѣленія, и конецъ, тому соотвѣтственный?

6. Итакъ, поелику показано, что цѣлію рѣчи у мудраго не внѣшняя мудрость, ни частная, ни вообще, понеобходимости выходитъ, что это именно та Божественная мудрость, истинная и первая очевидно, которую въ тайнѣ сокровенную мы проповѣдуемъ между совершенными, говоритъ великій Павелъ, которой не познали мудрые вѣка сего (1 Кор. II, 6—8), которой подлинный признакъ, по мудрому богослову, „жизнь похвальная и очищенная или очищаемая для Бога, пречистаго и пресвѣтлаго, Который требуетъ отъ насъ одной жертвы—очищенія, обыкновенно называемой въ Писаніи сердцемъ сокрушеннымъ (Пс. V, 19), жертвою хвалы (Пс. XVIX, 14. 23), новою во Христѣ тварію (Гал. VI, 15), новымъ человѣкомъ (Еф. IV, 24), и тому подобно“. И тотчасъ. „Первая мудрость презираетъ ту мудрость, которая состоитъ въ однихъ словахъ и оборотахъ рѣчи, въ обманчивыхъ и пышныхъ противоположеніяхъ“ *). О сей-то мудрости рѣчь у Соломона, которая, какъ

*) Григорія Бог. слово 15 (Твор. 2, 48).

χὴν, ἡ πρώτη καὶ ἀληθὴς αὕτη τοῦ Θεοῦ σοφία ἐνοικίζεται ταύτῃ, χάρις καὶ φυσικὴ ἐνεργεια τοῦ παναγίου Πνεύματος οὖσα. Περὶ ἧς δήπου καὶ Παῦλος ὁ μέγας Ἐφεσίοις ἐπιστέλλων, οὕτω πως λέγει· ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ, ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει, γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ κατὰ τὴν εὐδοκίαν αὐτοῦ. Καὶ μετ' ὀλίγα. Ἐν ᾧ καὶ πιστεύσαντες, ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ Ἁγίῳ, ὅς ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν. Καὶ πάλιν, ἵνα γνωρισθῇ φησι νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, καὶ ἵνα δῴῃ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δύναμιν κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν. Διὸ καὶ αὐτὸς ὁ Χριστὸς τοῖς παρ' ἑαυτοῦ τοῦτον ὥσπερεὶ τὸν λόγον ὑποδεικνὺς καὶ τὸ μυστήριον τοῖς μαθηταῖς ὑπανοίγων, ἐὰν ἀγαπᾶτε με φησί, καὶ ἐντολάς μου τηρήσατε. Καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ τὸν ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ, οὐδὲ γνώσει αὐτό. Καὶ πάλιν. Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Ὡς διὰ

сказано, имѣя началомъ страхъ Божій и выходя оттуда, какъ изъ нѣкоего источника, шествуетъ по всѣмъ заповѣдямъ Божіимъ. Пот. что *мудрый сердцемъ принимаетъ заповѣди* (Прит. X, 8), и *подвиги ея*, говоритъ, *суть добродѣтели*, пока преодолѣвши бурю страстей, не приведетъ пріобрѣвшаго ее къ пристани любви Божіей. И такимъ образомъ первая и истинная она̀я мудрость Божія, найдя душу приготовленною чрезъ чистоту, вселяется въ ней, будучи дарованіемъ и естественнымъ дѣйствіемъ Всесвятаго Духа (Прем. IX, 17). О ней-то и Павелъ великій въ посланіи къ Ефесянамъ такъ вотъ говоритъ: *имѣемъ искупленіе кровію Его, прощеніе грѣховъ, по богатству благодати Его, каковую Онъ въ преизбыткѣ даровалъ намъ во всякой премудрости и разумѣніи, открывъ намъ тайну Своей воли по Своему благоволенію* (Еф. 1, 7—9). И немного далѣе. *Въ Немъ и вы, увѣровавшіе въ Него, запечатлѣны обѣтованнымъ Духомъ Святымъ, Который есть залогъ наслѣдія нашего* (ст. 13). И опять говоритъ: *дабы нынѣ содѣлалась извѣстною чрезъ Церковь начальствамъ и властямъ на небесахъ многоразличная премудрость Божія* (Еф. III, 10). И: *чтобы далъ вамъ, по богатству славы Своей,*

τῆς τοῦ Πνεύματος ἐνεργείας, ταυτὸν δ' εἰπεῖν τῆς τοῦ Θεοῦ σοφίας, ὅλης τῆς Ἁγίας Τριάδος ἐνοικιζομένης ἐκείνοις, ἦν ὁ μὲν Χριστὸς, ἐπὶ τὸ πάθος ἐρχόμενος, ὡς ἀνωτέρω μοι λέλεκται, τοῖς μαθηταῖς ἐπηγγείλατο. Παῦλος δ' αὖθις ὁ μέγας τοῖς ἑαυτοῦ μαθηταῖς τὸ μὲν ἤδη δεδωκὼς ἦν, διὰ τῆς θείας ἀναγεννήσεως δηλονοτι, τὸ δ' ηὔχετο καὶ αὖθις ἐκείνοις δοθῆναι, καθάπερ αὐτὸς ἐκεῖνος ἤδη φθάσας ἐδήλωσεν. Ὅθεν καί τις τῶν τοῦτο παθόντων τὲ καὶ μαθόντων θεολόγων, αὐτὸ τοῦτο διδάσκων, ἔστι μέν φησιν ἐν πᾶσι ἀνθρώποις τὸ Πνεῦμα τὸ Ἅγιον ἁπλῶς, καθὸ πάντων ἐστὶ συνεκτικόν καὶ τῶν φυσικῶν σπερμάτων ἀνακινητικόν· προσδιορισμένως δὲ, καὶ ἐν πᾶσι τοῖς ἐν νόμῳ καθότι τῆς τῶν ἐντολῶν ἐστιν ὑποδεικτικὸν παραβάσεως, καὶ τῆς κατὰ Χριστὸν προαγορευθείσης ἐπαγγελίας φωτιστικόν. Ἐν δὲ πᾶσι τοῖς κατὰ Χριστὸν πρὸς τοῖς εἰρημένοις, ὡς υἱοθετικόν. Ὡς δὲ σοφίας ποιητικόν, ἐν οὐδενὶ τῶν εἰρημένων ἔστιν ἁπλῶς, πλὴν τῶν συνιέντων καὶ ἑαυτοὺς διὰ τῆς ἐνθέου πολιτείας ἀξίους ποιησαμένων τῆς αὐτοῦ θεωτικῆς οἰκήσεως. Πᾶς γὰρ μὴ ποιῶν τὰ θεῖα θελήματα ἀσύνετον ἔχει τὴν καρδίαν. Ὁ δὲ μέγας βασίλειος πάντα μέν φησι πληροῦν ἐστι τῇ δυνάμει τὸ Πνεῦμα τὸ Ἅγιον, μόνοις δέ ἐστι μεθεκτὸν τοῖς ἀξίοις, οὐχ ἑνὶ μέτρῳ μετεχόμενον, ἀλλὰ κατὰ τὴν ἀναλογίαν τῆς πίστεως διαιροῦν τὴν ἐνέργειαν. Καὶ Σολομὼν δ' αὐτὸς ὁ σοφὸς τοιαδέ τινα περὶ ἑαυτοῦ καὶ τῆς ἐν αὐτῷ σοφίας ἐν ἑτέρῳ φησίν. Ὅσαπέρ ἐστι κρυπτὰ καὶ

крѣпко утвердиться Духомъ Его во внутреннемъ человѣкѣ, вѣрою вселиться Христу въ сердца ваши (ст. 16). Поэтому и самъ Христосъ какъ бы предъуказывая отъ Себя на это дѣло и открывая тайну ученикамъ Своимъ, говоритъ: *если любите Меня, соблюдите Мои заповѣди; и Я умолю Отца, и дастъ вамъ другого Утѣшителя, да пребудетъ съ вами въ вѣкъ. Духа истины, котораго міръ не можетъ принять, потому что не видитъ Его и не знаетъ Его* (Іоан. XIV, 15—17). И опять. *Кто любитъ Меня, тотъ соблюдетъ слово Мое; и Отецъ Мой возлюбитъ его, и Мы придемъ къ нему и обитель у него сотворимъ* (ст. 23). Такъ что посредствомъ дѣйствія Духа, или, что тоже, мудрости Божіей вся Святая Троица вселяется въ нихъ. Сіе дѣйствіе Христосъ, идя на страданія, обѣщалъ ученикамъ Своимъ, какъ выше сказано мною, а Павелъ великій, опять, то говоритъ, что уже подалъ Духа ученикамъ Своимъ (Еф. 1, 8. 2 Тим. 1, 7), то есть чрезъ божественное возрожденіе (Еф. IV, 30), то и еще желаетъ молитвенно, чтобы подавался (Еф. 1, 16—18), какъ самъ выше обозначилъ. Потому и нѣкто изъ богослововъ, сіе испытавшихъ и дознавшихъ, научая этому самому, говоритъ:

ἐμφανῆ, ἔγνων· ἡ γὰρ πάντων τεχνίτις ἐδίδαξέ με σοφία. Ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερὸν, ἅγιον. Πάσης κινήσεως φησι κινητικώτερον σοφία. Ἀτμὶς γάρ ἐστι τῆς τοῦ Θεοῦ δυνάμεως καὶ ἀπόῤῥοια τῆς τοῦ Παντοκράτορος δόξης εἰλικρινής, καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ Θεοῦ ἐνεργείας. Διατοῦτό φησιν ἠξάμην καὶ ἐπεκαλεσάμην, καὶ ἦλθέ μοι πνεῦμα σοφίας. Ἀδόλως τὲ ἔμαθον, ἀφθόνως τὲ μεταδίδωμι. Ἀνελλιπὴς γάρ ἐστι θησαυρὸς ἀνθρώποις, ὃν οἱ κτησάμενοι πρὸς Θεὸν ἐστείλαντο φιλίαν. Αὕτη γάρ φησι κατὰ γενεὰς εἰς ψυχὰς ὁσίας μεταβαίνουσα φίλους Θεοῦ καὶ προφήτας κατασκευάζει. Οὐδὲν γὰρ ἀγαπᾷ ὁ Θεὸς, εἰ μὴ τὸν σοφίᾳ συνοικοῦντα. Καὶ κάλλιστα καὶ σοφώτατα φησὶν ὁ σοφὸς κἀν τούτῳ τῳόντι, ὅτι μόνου Θεὸς ἐρᾷ τοῦ σύνοικον ἔχοντος τὴν ἐκείνου σοφίαν. Τὸ γὰρ τιμιώτατον τῶν ἐπὶ γῆς πάντων κτισμάτων, τὸν ἄνθρωπον, οἰκείαις χερσὶ πλάσας, πνεῦμα καὶ σάρκα τὸν αὐτὸν, νοῦν ἀπαθῆ τε καὶ ἄϋλον, αἰσθήσεσι καὶ ὕλης παχύτητι, λόγοις οἷς ἐκεῖνος οἶδε σύνδεδεμένον, καὶ ταύτης τῆς σοφίας ἐργάζεται κοινωνὸν ἐκεῖνον αὐτίκα, μοῖράν τινα καὶ ἀπόῤῥοιαν διὰ τοῦ θείου δηλαδὴ ἐμφυσήματος τῆς ἑαυτοῦ θεότητος δεδωκώς, ἵνα καὶ ταῖς λέξεσιν αὐταῖς ἐκείναις τῶν τῆς ἐκκλησίας σοφῶν χρήσωμαι· ἣν ἐπειδὴ μετολίγον ἀπώλεσεν ὁ λαβὼν φθόνῳ διαβόλου καὶ γυναικὸς ἀπάτῃ, Χριστὸς μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἑαυτοῦ ἐμφυσήματι καὶ χάριτι Πνεύματος αὖθις ἐν τοῖς ἀποστόλοις ἀνακαινίζει, κατ' αὐτοὺς ἐκείνους εἰ-

„Духъ Святый пребываетъ во всѣхъ людяхъ безъисключенія (см. Прем. XII, 1. 2), какъ сохраняющій все и оживляющій естественныя сѣмена (Рим. II, 14. 15); а въ частности (ограничительно) — и во всѣхъ, имѣющихъ Законъ, какъ указующій на преступленіе заповѣдей и освѣщающій обѣтованіе во Христѣ (Рим. VII—IX); во всѣхъ же вѣрующихъ во Христа, къ сказанному, и какъ усыновляющій (VIII, 15). А какъ податель премудрости, ни въ комъ изъ указанныхъ Онъ не пребываетъ безотносительно (безъисключенія), а только въ смыслящихъ, которые святымъ житіемъ содѣлали себя достойными Его обожающаго обитанія; пот. что всякій, не исполняющій воли Божіей, имѣетъ несмысленное сердце“ (Сир. XV, 7. Притч. XIV, 6). Василій же великій говоритъ: „Духъ Святый все наполняетъ своею силою, а сообщается только достойнымъ, не въ одной мѣрѣ пріемлется ими, но раздѣляетъ дѣйствованіе по мѣрѣ вѣры“ *). И самъ премудрый Соломонъ такъ о себѣ и сущей въ немъ мудрости говоритъ въ другой книгѣ. *Позналъ я все, и сокровенное и явное; пот. что научила меня Премудрость, ху-*

*) Василій Вел. въ кн. къ Амфилохію о Святомъ Духѣ, въ главѣ девятой (Твор. III, 265).

πεῖν αὖθις τοὺς θεολόγους, καὶ αὐτῷ γε τῷ τῆς μεταδόσεως τρόπῳ πρὸς ἀνάμνησιν ἄγων ἐκείνους τῶν ἐν τῷ πρωτοπλάστῳ διὰ τοῦ αὐτοῦ ἐμφυσήματος γεγονότων. Ἡ τοῦ νοεῖν γὰρ καὶ συνιέναι τὸν ἑαυτῶν κτίστην καὶ δημιουργὸν δύναμις, ὁ μέγας Βασίλειος φησὶν αὖθις, καὶ ἐν ἀνθρώποις ὑπάρχει. Ἐνεφύσησε γὰρ εἰς τὸ πρόσωπον· τουτέστι, μοῖράν τινα τῆς ἰδίας χάριτος ἐναπέθετο τῷ ἀνθρώπῳ, ἵνα τῷ ὁμοίῳ ἐπιγινώσκῃ τὸ ὅμοιον. Καὶ πάλιν, ἀνακαινίζων φησὶ τὸν ἄνθρωπον ὁ Κύριος, καὶ ἣν ἀπώλεσεν χάριν ἐκ τοῦ ἐμφυσήματος τοῦ Θεοῦ ταύτην πάλιν ἀποδιδοὺς εἰς τὸ πρόσωπον τῶν μαθητῶν, τί φησι; λάβετε Πνεῦμα Ἅγιον. Καὶ αὖθις. Ὥσπερ καὶ τῶν προσώπων ἐμφάσεις οὐκ ἐν πάσαις ταῖς ὕλαις γίνονται, ἀλλ' ἐν ταῖς λειότητά τινα καὶ διαφάνειαν κεκτημέναις, οὕτως οὐκ ἐν πάσαις ταῖς ψυχαῖς ἡ τοῦ Πνεύματος ἐνέργεια, ἀλλ' ἐν ταῖς μηδὲν σκολιὸν ἐχούσαις, μηδὲ στραγγαλιώδες. Καὶ ἕτερος αὖθις, Μετὰ τὴν ἐκ νεκρῶν φησιν ἀναβίωσιν ἀνακαινίζων ἐν ἡμῖν ὁ Σωτὴρ τὴν ἀρχαίαν τοῦ Πνεύματος χάριν, ἐνεφύσησε τοῖς μαθηταῖς λέγων· λάβετε Πνεῦμα Ἅγιον. Ἄλλος δὲ πάλιν θεότητός φησιν ἐστὶν ἀπορρὼξ τὸ ἐμφύσημα τὸ θεῖον ἐκεῖνο, ὅπερ ὁ Θεὸς ἐνεφύσησε δηλονότι τῷ προσώπῳ τοῦ πρωτοπλάστου.

дожница всего. Есть же въ ней духъ разумный, святый (Прем. VII, 21. 22). *Премудрость*, говоритъ, *подвижнѣе всякаго движенія. Она есть дыханіе силы Божіей и чистое изліяніе славы Вседержителя, и чистое зеркало дѣйствія Божія* (ст. 24—26). *Посему*, говоритъ, *я молился и взывалъ, и сошолъ на меня духъ премудрости* (VII, 7). *Безъ хитрости я научился, безъ зависти преподаю: пот. что она есть неистощимое сокровище для людей. Пользуясь ею, они входятъ въ содружество съ Богомъ* (ст. 13. 14). Потому что *она, переходя изъ рода въ родъ въ святыя души, приготовляетъ друзей Божіихъ и пророковъ; такъ какъ Богъ никого не любитъ, кромѣ живущаго съ премудростію* (ст. 27. 28). И прекрасно и дѣйствительно премудро и тутъ говоритъ этотъ мудрый, что Богъ любитъ только пребывающаго съ Его мудростію. Потому что собственными руками создавши человѣка, почотнѣйшее изъ земныхъ твореній, духомъ и плотію въ тоже время, умомъ безстрастнымъ и невещественнымъ, по причинамъ Ему вѣдомымъ, сопряженнымъ съ чувствами и дебелостію вещества, содѣлываетъ его тотчасъ участникомъ и сей мудрости, даровавши (употреблю и самыя тѣ выраженія мудрыхъ

учителей Церкви) чрезъ Божественное вдуновеніе частицу нѣкую и струю *) Своего Божества. Поелику же получившій ее скоро погубилъ ее, по зависти діавола и прельщенію жены, то Христосъ по воскресеніи Своемъ изъ мертвыхъ опять, снова выражаясь словами тѣхъже богослововъ, возобновляетъ ее въ апостолахъ вдуновеніемъ и благодатію Духа, самимъ способомъ **) подаянія приводя имъ на память бывшее въ первозданномъ чрезъ такое же вдуновеніе. „Возможность познавать и ощущать своего Творца и Зиждителя", говоритъ опять великій Василій, „есть и въ людяхъ. Потому что Онъ *вдунулъ въ лице*, то есть вложилъ въ человѣка нѣкое дарованіе Своей благодати, чтобы подобнымъ познавалъ подобное". И еще ***) говоритъ: „Господь, обновляя человѣка и опять возвращая ему ту благодать, которую Богъ вдохнулъ въ него, а онъ погубилъ, вдунувши въ лице учениковъ, что говоритъ? *Примите Духа Святаго*". И ****) опять. „Какъ отраженія лицъ не

*) Григорія Бог. Стихотвореніе „О душѣ" (Твор. IV, 243). Конечно, эти выраженія не должно понимать буквально, а въ смыслѣ—творенія отличнѣйшаго.

**) Василія Вел. V книга противъ Евномія (Твор. III, 194).

***) Василія В. къ Амфилохію кн. о Св. Духѣ (Твор. III, 292).

****) Васил. В. въ Предисловіи къ Толкованію на пр. Исаію (Тв. II, 6).

7. Ὁρᾷς ὦ βέλτιστε τὰ νέα τοῖς παλαιοῖς ἄριστα συμφωνοῦντα καὶ ὥσπερ ἐν χορῷ συναδόντων ἢ μουσικῇ τινι καὶ κιθάρᾳ τεχνικῶς ἡρμοσμένῃ καὶ πανταχόθεν ἴσῃ τὸ μυστικόν τε καὶ θεῖον ἐξηχούμενον μέλος εἰκότως; Εἷς γὰρ καὶ ὁ αὐτός ἐστι τεχνίτης καὶ Κύριος τῆς παλαιᾶς ὁμοῦ καὶ τῆς νέας, τὸ Πνεῦμα τῆς ἀληθείας τὸ Ἅγιον, τὸ λαλῆσαν ὁμοίως ἄνωθεν ἐν πατράσι τέ καὶ προφήταις, εὐαγγελισταῖς τε καὶ ἀποστόλοις καὶ διδασκάλοις, καὶ παντὶ τῷ ἐν ἐκείνοις πληρώματι. Περὶ ἧς γὰρ ἔφη Σολομών, ὅτι πνεῦμα νοερὸν ἅγιον ἔστιν ἐν αὐτῇ, καὶ ὅτι ἀτμίς ἐστι τῆς τοῦ Θεοῦ δυνάμεως καὶ ἀπόῤῥοια τῆς τοῦ Παντοκράτορος δόξης εἰλικρινὴς καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ Θεοῦ ἐνεργείας, αὐτὴν ταύτην οἱ τῆς νέας διαθήκης σοφοί φασι θεολόγοι μοῖραν τῆς θείας χάριτος καὶ θεότητος ἀπορ-

во всѣхъ веществахъ бываютъ, а въ имѣющихъ нѣкую выглаженность и прозрачность: такъ и дѣйствіе Духа отражается не во всякой душѣ, а только въ душахъ, которыя не имѣютъ въ себѣ ничего коварнаго и лукаваго“ (Прит. VIII, 8). И другой опять говоритъ“: по воскресеніи изъ мертвыхъ, Спаситель, возобновляя въ насъ древнюю благодать Духа, дунулъ на учениковъ, говоря: „*Примите Духа Святаго*“. Иной же еще говоритъ: „Дуновеніе Божественое, которое Богъ вдунулъ въ лице первозданнаго, есть отраженіе Божества“.

7. Видишь, отмѣнный мужъ, новое прекрасно согласующееся съ древнимъ, и какъ бы въ ликѣ поющихъ вмѣстѣ или на музыкальномъ какомъ орудіи и киѳарѣ, художественно настроенной и во всемъ равномѣрной, стройно исполняемую таинственную и божественную пѣснь. Потому что и одинъ и тотъже Художникъ и Господь ветхаго и новаго завѣта, Святый Духъ истины, одинаково глаголавшій свыше въ отцахъ и пророкахъ, благовѣстникахъ, апостолахъ и учителяхъ, и во всякомъ, кто принадлежалъ къ нимъ. Ибо мудрость, о которой сказалъ Соломонъ, что есть въ ней духъ разумный, святый (Прем. VII, 22), что она есть дыханіе силы Божіей и чистое изліяніе славы Вседержителя, и

ῥόγα, καὶ Πνεύματος Ἁγίου σοφίαν τὲ καὶ ἐνέργειαν, οὐχὶ πᾶσιν ἁπλῶς μετεχομένην, ἀλλὰ τοῖς ἀξίοις μεριζομένην κατὰ τὴν ἀναλογίαν τῆς πίστεως· ὃ δὴ κἀκεῖνος ὡσαύτως δηλῶν ἔλεγεν, ὅτι κατὰ γενεὰς εἰς ψυχὰς ὁσίας μεταβαίνουσα, φίλους Θεοῦ καὶ προφήτας κατασκευάζει. Διὰ γὰρ ταύτης ὁ πρῶτος Ἀδὰμ καὶ προφήτης καὶ σοφὸς ἀνεφάνη, ὡς ἔδειξεν ἥ, τε περὶ τῆς γυναικὸς γνῶσις ἐκείνου καὶ τὸ καταλλήλως καὶ προσφυῶς ἑκάστῳ τῶν ζώων ἐπιθεῖναι τὰς κλήσεις, καὶ Θεῷ δὶ ἐκείνης ὑπερφυῶς ὁμιλῶν ἦν δηλαδὴ πρὸ τῆς ἁμαρτίας. Περὶ οὗ δὴ καὶ Σολομὼν αὖθις πρὸς τὸν Θεὸν ἔλεγεν, ὅτι σὺ τὴν σοφίαν σου ἔδωκας καὶ ἔπεμψας τὸ Ἅγιόν σου Πνεῦμα, καὶ τὰ ἀρεστά σου ἐδιδάχθησαν ἄνθρωποι, καὶ τῇ σοφίᾳ σου ἐσώθησαν. Αὕτη πρωτόπλαστον πατέρα κόσμου μόνον κτισθέντα διεφύλαξε καὶ ἐξείλετο αὐτὸν ἐκ παραπτώματος ἰδίου. Ἔδωκε γὰρ αὐτῷ ἰσχὺν κρατῆσαι πάντων. Ἀποστὰς δὲ ἀπ' αὐτῆς ἄδικος, ἐν ὀργῇ αὐτοῦ ἀδελφοκτόνοις συναπώλετο θυμοῖς. Αὕτη τὸ πρόσωπον ἐδόξασεν ὑπερφυῶς Μωϋσέως, ὡς μηδὲ δύνασθαι τοὺς προσδιαλεγομένους ἀτενίζειν ἐκείνῳ, καὶ νομοθέτην καὶ στρατηγὸν ἀνέδειξε τοῦ λαοῦ, ἱερέα τὲ Θεοῦ, μᾶλλον δὲ καὶ τῶν ἱερέων αὐτῶν αὐτουργόν τε καὶ χρίστην, καὶ θείας φωνῆς καὶ χρισμῶν μετὰ πολλῆς τινος τῆς παῤῥησίας ἐκεῖθεν ἀκούοντα καθεκάστην. Ἐλάλησε γάρ φησι Κύριος πρὸς Μωϋσῆν, ὡς εἴ τις λαλήσει πρὸς ἑαυτοῦ φίλον. Καὶ πάλιν, εὗρηκας χάριν ἐνώπιόν μου, πρός αὐτόν

чистое зеркало дѣйствія Божія (ст. 25. 26),—эту самую мудрость новозавѣтные мудрые богословы называютъ даромъ благодати Божіей, отраженіемъ Божества, мудростію Святаго Духа и дѣйствіемъ, которое не всѣмъ просто сообщается, а раздѣляется достойнымъ по мѣрѣ вѣры. На что и онъ такъже указывая сказалъ, что переходя изъ рода въ родъ въ святыя души, приготовляетъ друзей Божіихъ и пророковъ (Прем. VII, 27). Ибо чрезъ нее первый Адамъ сдѣлался и пророкомъ и мудрымъ, какъ показало и знаніе его о женѣ (Быт. II, 23), и нареченіе именъ животнымъ, каждому соотвѣтственно природѣ и склонностямъ (ст. 19. 20), и по этой мудрости сверхъестественнымъ образомъ бесѣдовалъ съ Богомъ, то есть до прегрѣшенія. О немъ и Соломонъ опять сказалъ, обращаясь къ Богу: *Ты даровалъ премудрость Свою и послалъ Духа Твоего Святаго, и люди научились тому, что угодно Тебѣ, и премудростію Твоею спаслись* (Прем. IX, 17—19). *Она сохраняла первозданнаго отца міра, который сотворенъ былъ одинъ, и спасала его отъ собственнаго его паденія; ибо дала ему силу владычествовать надъ всѣмъ. А отступившій отъ нея неправедный въ гнѣвѣ своемъ погибъ отъ своей братоубійственной яро-*

φησιν αὐτὸς ὁ χρηματίζων Δεσπότης, καὶ οἶδα σε παρὰ πάντας. Αὕτη τοὺς κατὰ καιρὸν θείους ἐκείνους προφήτας καὶ κοινωνοὺς καὶ κήρυκας θείων ἀνέδειξε μυστηρίων, τὸ ἡγεμονικὸν ἐκείνων ἀῤῥήτως καταφωτίζουσα, καὶ θεόπτας καὶ προφήτας ἀψευδεῖς ἐργαζομένη τοῦ μέλλοντος· ὅθεν καὶ τὴν ἐσύστερον ὀφθεῖσαν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ διὰ σαρκὸς φρικτήν τε καὶ ἄῤῥητον οἰκονομίαν μυστικῶς ἰδεῖν τε καὶ μαθεῖν καὶ δὴ προαγορεῦσαι τρανῶς ἠξιώθησαν. Καὶ ὁ τούτου δὲ τοῦ σοφοῦ πατὴρ, Δαυὶδ ὁ βασιλεύς φημι καὶ προφήτης, διὰ ταύτης ὑπὲρ τοὺς παλαιοὺς ἐδοξάσθη, τα θειότατα παθὼν καὶ μαθὼν, καὶ κηρύξας λαμπρῶς εἴπέρ τις τῶν πάντων, ὡς καὶ θείας ἀξιωθῆναι φωνῆς, ὑπερφυῶς αὐτῷ τὰ μέγιστα καὶ καινὰ μαρτυρούσης ἐκεῖνα. Εὗρον γάρ φησι Δαυὶδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδιάν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου. Καὶ αὐτὸς δ' οὗτος ὁ σοφὸς Σολομὼν, ἵνα τὰ πολλὰ παραδράμω, τῆς χάριτος ἐκείνης μετασχὼν καὶ τῆς σοφίας τοῦ Πνεύματος ὑπὲρ πάντας, ἐκεῖνα καὶ μαθεῖν καὶ εἰπεῖν ἔσχεν, τὰ πᾶσαν καὶ σοφίαν ἀνθρωπίνην καὶ γνῶσιν ὑπερφυῶς ὑπερβαίνοντα. Ἡ γὰρ πάντων φρόνησις αὐτὸν ἐδίδαξε σοφία, ἐν ᾗ Πνεῦμα νοερόν ἐστιν Ἅγιον, καὶ ὅσα ἑξῆς φησιν αὐτὸς οὗτος. Οὐ γὰρ περιφρονητέον τοῦ ἀνδρὸς, οὐδ' ἀτιμαστέον ἐκεῖνον διὰ τὰ ὕστερα, φησὶν ὁ σοφὸς θεολόγος.

ти (X, 1—3). Она сверхъестественно прославила лице Моисея, такъ что разговаривающіе не могли смотрѣть на него (Исх. XXXIV, 29—35), законодателемъ и вождемъ народнымъ содѣлала его, и священникомъ Божіимъ, а лучше сказать—отъ себя поставляющимъ и помазующимъ самихъ священниковъ, и со многимъ дерзновеніемъ слушающимъ свыше Божественный голосъ и повелѣнія. Ибо, говорится, *говорилъ Господь съ Моисеемъ, какъбы говорилъ кто съ другомъ своимъ* (Исх. XXXIII, 11). И опять. *Ты пріобрѣлъ благоволеніе въ очахъ Моихъ*, говоритъ ему самъ Владыка, *и я знаю тебя больше всѣхъ* (ст. 12). Она въ надлежащее время воздвигала святыхъ пророковъ, общниковъ и проповѣдниковъ Божественныхъ таинъ, неизреченнымъ образомъ просвѣщая владычественное *) въ нихъ, содѣлывая боговидцами и неложными предрекателями будущаго. Поэтому они удостоились таинственно видѣть и знать (Іоан. VIII, 56. XII, 41) и въпослѣдствіи открывшееся страшное и неизреченное домостроительство единороднаго Сына Божія во плоти, и ясно предвозвѣстить. И отецъ сего премудраго, Давидъ царь и пророкъ, ею прос-

*) Григорія Бог. слово 30 (Твор. III, 79).

лавился выше древнихъ, божественныя тайны принявши и познавши и проповѣдавши ясно, какъ вырядъли кто изъ всѣхъ, такъ что удостоился и Божественнаго изреченія, сверхъестественно утверждающаго за нимъ тѣ великія и новыя откровенія. Ибо говоритъ: *нашелъ Я мужа по сердцу Моему, Давида, сына Іессеева, который исполнитъ всѣ хотѣнія Мои* (Дѣян. XIII, 22. 1 Цар. XIII, 14. Пс. XXXVIII, 21). И самъ сей мудрый Соломонъ (опускаю многое), болѣе всѣхъ пріобщившись оной благодати и мудрости Духа, возмогъ и узнать и высказать то, что несравненно превосходитъ всякую мудрость и науку человѣческую. Пот. что *научила* его *Премудрость, художница всего, въ которой есть духъ разумный, святый*, и прочее, что дальше говоритъ сей святый (Прем. VII, 21. 22). Ибо, слѣдуя святому богослову *), не станемъ ни обвинять сего мужа, ни отвергать его за послѣднее его паденіе.

8. Итакъ, мы достаточно уже научены изъ ветхаго и новаго Богословскаго представленія о божественной премудрости, и узнали, что она есть Божественное естественное дѣйствіе и бла-

8. Ἐπεὶ τοιγαροῦν ἱκανῶς διά τε τῆς παλαιᾶς καὶ νέας θεολογίας τὸ κατὰ τὴν θείαν σοφίαν ἐδιδάχθημεν ἤδη, θείαν καὶ φυσικὴν ἐνέργειαν καὶ χάριν τῆς μεγάλης καὶ ὁμοουσίου Τριάδος αὐτὴν ἐκμαθόντες, διὰ τοῦ Ἁγίου Πνεύματος κατὰ γενεὰν ὁσίαις ψυχαῖς διδομένην, Πνεῦμα καὶ γὰρ σοφίας εἴρηται τῇ θείᾳ Γραφῇ δι' αὐτὸ τοῦτο, καὶ αὕτη τῶν αὐτοῦ πρώτων ἐνερ-

*) То есть—у Григорія Богослова въ 40 словѣ, на Крещеніе (Твор. III, 272).

γειῶν ἡ πρωτίστη τε καὶ καλλίστη, ἧς τὴν μὲν ἀρχὴν ἠκούσαμεν τὸν τοῦ Θεοῦ φόβον εἶναι· ἀρχὴ γάρ φησι σοφίας φόβος Κυρίου· ἀρετὰς δὲ καὶ Θεοῦ ἐντολὰς τοὺς αὐτῆς πόνους. Οἱ πόνοι γάρ φησιν αὐτῆς εἰσὶν ἀρεταί, καὶ σοφὸς καρδίᾳ δέξεται ἐντολάς. Τὸ δὲ τέλος αὐτῆς, εἴπερ καὶ τέλος ἔστιν εὑρεῖν τῆς κατὰ φύσιν ἀπείρου, ἡ τοῦ παναγίου Πνεύματος ἐν τῇ ψυχῇ δι' αὐτῆς ἀνάπαυσις καὶ κατοικία. Τοῦ γὰρ Δεσπότου ἠκούσαμεν ἄρτι πρὸς τοὺς ἰδίους μαθητὰς εἰρηκότος· ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσατε, καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας. Ὅπερ ἐξῆς σαφηνίζοντες οἱ τῆς νέας θεολόγοι πατέρες καθάπερ ἔφθημεν εἰπόντες ἤδη, τὸ Πνεῦμα τὸ Ἅγιον εἶπον, ὡς ποιητικὸν σοφίας ἐν οὐδενὶ τῶν πάντων ἐστὶν ἁπλῶς, πλὴν τῶν συνιέντων καὶ ἑαυτοὺς διὰ τῆς ἐνθέου πολιτείας ἀξίους ποιησαμένων τῆς αὐτοῦ θεωτικῆς ἐνοικήσεως. Καὶ πάλιν, πάντα μέν ἐστι πληροῦν τῇ δυνάμει τὸ Πνεῦμα τὸ Ἅγιον, μόνοις δέ ἐστι μεθεκτὸν τοῖς ἀξίοις, κατ' ἀναλογίαν διαιροῦν τὴν ἐνέργειαν. Ἐπεὶ ταῦτα καλῶς ἀποδέδεικται Θεοῦ δεδωκότος, καὶ τὸν προκείμενον ἡμῖν ἀνεκαθήραμεν καθόσον οἱόντε τοῦ λόγου ὁρόμον, ἐνταῦθα τὸν παρόντα τέως στήσωμεν λόγον, ἀρκεσθέντες τόγε νῦν εἶναι τοῖς εἰρημένοις· ἐπεὶ καὶ κόρος λόγου πολέμιος ἀκοαῖς, κατὰ τὸν εἰπόντα· τῶν μὲν ἤδη ῥηθέντων χάριν χάριτας ὁμολογοῦντες τὰς μεγίστας Θεῷ καταχρέος, αἰτούμενοι δὲ καὶ

годатное дарованіе великой и единосущной Троицы, чрезъ Св. Духа изъ рода въ родъ подаемое святымъ душамъ (пот. что по этому самому именуется Онъ въ божественномъ Писаніи и Духомъ премудрости—Ис. XI, 2), и она есть первѣйшее и прекраснѣйшее изъ первыхъ Его дѣйствій, которой начало, по слышанному нами, есть страхъ Божій (ибо говоритъ: *начало премудрости—страхъ Господень*); а дѣла ея—добродѣтели и заповѣди Божіи (пот. что, говоритъ, *плоды ея суть добродѣтели*—VIII, 7. и *мудрый сердцемъ принимаетъ заповѣди*—Прит. X, 8); конецъ же ея, если только можно найти и конецъ безпредѣльному, упокоеніе и вселеніе Св. Духа въ душѣ чрезъ нее (пот. что недавно слышалъ Владыку, сказавшаго Своимъ ученикамъ: *если любите Меня, соблюдите Мои заповѣди, и Я умолю Отца, и дастъ вамъ другого Утѣшителя, да пребудетъ съ вами вѣкъ, Духа истины*—Іоан. XIV, 15. 16—что далѣе уясняя, богословствующіе отцы новозавѣтные сказали: Духъ Святый, какъ податель премудрости, ни въ комъ не пребываетъ безусловно, а только въ смыслящихъ и богоугодною жизнію содѣлавшихъ себя достойными Его обожествляющаго вселенія; и опять: Духъ Святый все наполняетъ силою, а

τὴν εἰς τὰ ἑξῆς ἐπικουρίαν ὁμοίως καὶ χάριν. Ἐπεὶ χωρὶς μὲν ἐκείνου οὐ δυνάμεθα τοπαράπαν ποιεῖν οὐδὲν κατὰ τὸν ἐκείνου λόγον· πᾶσα δὲ δόσις ἀγαθὴ, κατὰ τὴν σεπτὴν ἐκείνην θεολογίαν, ἄνωθέν ἐστιν ἀπὸ τοῦ Πατρὸς τῶν φώτων.

сообщается только достойнымъ, раздѣляя по мѣрѣ вѣры). И такъ какъ, при помощи Божіей, это хорошо доказано, и мы, насколько возможно, подготовили предлежащее намъ теченіе слова, то на этомъ пока остановимъ рѣчь, удовольствовавшись сказаннымъ теперь. (Пот. что и обремененіе словомъ непріязненно для слуха, какъ *) сказано), и за сказанное уже воздавая по долгу величайшую благодарность Богу, и на продолженіе такъже испрашивая Его помощи и благодати. Пот. что безъ Него совсѣмъ ничего не можемъ дѣлать, по слову Христову (Іоан. XV, 5); и *всякое даяніе доброе*, по священному Богословію, *исходитъ свыше, отъ Отца свѣтовъ* (Іак. 1, 17).

*) У Григорія Бог. въ словѣ на Крещеніе.

Λόγος δεύτερος.

1. Τὰ μὲν οὖν ἀναγκαίως εἰπεῖν ἔδει περί τε συμβόλων ἱερῶν καὶ παραβολικοῦ λόγου, καὶ δὴ καὶ τῆς σοφίας αὐτῆς ἥτίς ποτέ ἐστιν, ἥνπερ ὁ σοφὸς ἐξυμνεῖ Σολομὼν οὕτως ὑψηλῶς καὶ ὑπὲρ τὸν λόγον, ἅτε δὴ καὶ πάσης ὑπερφυῶς ὑπερκειμένην σοφίας, ταῦτά ἐστιν, οὐκ ἐκ τῆς ἡμετέρας διανοίας εὑρημένα δηλαδὴ καὶ τῶν λόγων· ἀλλ' αὐτόθεν τὸ ἰσχυρὸν ὁμοῦ καὶ πιστὸν εἴπέρ τινα κεκτημένα τῶν πάντων. Οὐ γὰρ ἐν πειθοῖ λόγων ἀνθρωπίνης σοφίας, ὥς φησιν ὁ σοφος διδάσκαλος Παῦλος, ἀλλ' ἐν ἀπο-

Слово второе.

1. То, что по необходимости надлежало сказать о священныхъ символахъ и приточной рѣчи, и о самой мудрости, которую такъ возвышенно и необычными словами восхваляетъ премудрый Соломонъ, какъ несравненно превосходнѣйшую всякой мудрости, сказано такъ вотъ, и сказано не по нашему измышленію и не нашими словами, но по заимствованію силы, если какая есть, и достовѣрности во всемъ отъ ней самой. Потому что не въ убѣ-

δείξει Πνεύματος εἰρηται πάντα, συμφώνως ἐν ἀποστόλοις ὁμοῦ καὶ προφήταις, εὐαγγελισταῖς τε καὶ διδασκάλοις λαλήσαντος, καθὰ δὴ καὶ φθάσας ὁ λόγος ἐγνώρισε. Δεῖ δὲ καὶ τῶν προτεθέντων περὶ τῆς σοφίας ἅψασθαι ῥητῶν ἤδη, καὶ τούτοις καθόσον οἷόν τε τὸν λόγον προσαγαγεῖν, αὐτῆς ἐκείνης ἄνωθεν εὐμενῶς αὖθις χεῖρα διδούσης καὶ τὰς οἰκείας τρίβους τὲ καὶ αὐτὸν τὸν αὐτῆς οἶκον ὑποδεικνύσης.

2. Ἡ σοφία φησὶν ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά. Τόπος μὲν οὖν καὶ οἶκος τῆς φυσικῆς τοῦ Θεοῦ σοφίας οὐδεὶς πλὴν αὐτοῦ τοῦ Θεοῦ, τοῦ φυσικῶς αὐτὴν κεκτημένου. Ὡς γὰρ αἱ ὁδοὶ αὐτοῦ ἀνεξιχνίαστοι, κατὰ Παῦλον αὖθις φάναι τὸν μέγαν, καὶ τὰ κρίματα ἀνεξερεύνητα, καὶ ἡ εἰρήνη πάντα νοῦν ὑπερέχει, καὶ προσέτι τῆς μεγαλωσύνης αὐτοῦ πέρας οὐκ ἔστιν, ἀλλ᾽ οὐδὲ τῆς συνέσεως ἀριθμός, οὕτως οὐδὲ τοῦ τῆς σοφίας καὶ τῆς γνώσεως βάθους ἔστιν ἐκείνου καταστοχάσασθαί τινα τοπαράπαν, ἀπεριγράπτου πεφυκυῖας τὲ καὶ ἀπείρου, ὡς καὶ αὐτὸν τὸν εἰς τρίτον οὐρανὸν ἁρπαγέντα καὶ ἀπορρήτων ἀξιωθέντα σφοδρῶς ἰλιγγιᾶσαι τὲ καὶ ἀποπηδῆσαι, παρακύψαι μόνον εἰς ἐκεῖνο τὸ ἄπειρον ἐπιχειρήσαντα βάθος. Ὦ βάθος γάρ φησι πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. Αὐτή δ᾽ ἐκείνη λόγοις

дительныхъ словахъ человѣческой мудрости, какъ выражается премудрый учитель Павелъ (1 Кор. II, 4), сказано все, но въ явленіи Духа, согласно глаголавшаго въ апостолахъ и пророкахъ, благовѣстникахъ и учителяхъ, какъ уже замѣтило предшествующее слово. Нужно же повторить и предпоставленныя уже реченія и къ нимъ приложить повозможности объясненіе, какъ сама она опять подастъ помощь свыше и откроетъ и стези свои и самый домъ свой.

2. *Премудрость*, говоритъ, *построила себѣ домъ, и на семи столпахъ утвердила его.* Мѣсто же и домъ естественной премудрости Божіей есть только самъ Богъ, имѣющій ее *) естественно, Ибо какъ, скажемъ опять съ великимъ Павломъ, *пути Его неизслѣдимы и судьбы непостижимы* (Рим. XI, 33), и *миръ Его превыше всякаго ума* (Фил. IV. 7), и притомъ *величію Его нѣтъ предѣла* (Пс. CXLIV, 3), и *разумъ Его неизмѣримъ* (Пс. CXLVI, 5), такъ совсѣмъ никому невозможно проникнуть въ глубину премудрости и вѣдѣнія Божія (Рим. XI, 33), неограниченнаго

*) То есть—не пріобрѣтая ее отъинуда. „Богъ не вмѣщается мѣстомъ, пот. что Онъ невещественъ и неописуемъ: Самъ Онъ есть Свое мѣсто, какъ все наполняющій, высшій всего и все содержащій“—Дамаск. Точное изложеніе Вѣры, кр. 1, гл 17.

ἀῤῥήτου φιλανθρωπίας τοῦ κεκτημένου τε καὶ μεταδιδόντος οἶκον ἑαυτῇ καὶ διατριβὴν οἰκοδομεῖ ζῶσαν, τὴν ψυχὴν ἑκάστου τῶν βουλομένων. Εὔγνωστος γάρ ἐστι τοῖς ἐκζητοῦσιν αὐτήν φησι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Αὐτὴ τοὺς ἀξίους αὐτῆς περιέρχεται ζητοῦσα. Ὁ ὀρθρίσας πρὸς αὐτήν φησι, οὐ κοπιάσει· πάρεδρον γὰρ αὐτὴν εὑρήσει τῶν πυλῶν αὐτοῦ.

и безпредѣльнаго по естеству, такъ что и самъ восхищенный до третьяго неба и удостоившійся слышать неизреченныя слова (2 Кор. XII, 2—4) крайне смутился и отступилъ, попытавшись только проникнуть въ безпредѣльную ту бездну (Рим. XI, 33—36). Ибо говоритъ: *о глубина богатства и премудрости и вѣдѣнія Божія! Какъ непостижимы судьбы Его и неизслѣдимы пути Его!* И сама та премудрость по неизреченному человѣколюбію Имѣющаго ее и Сообщающаго (Притч. VIII, 22—35) устроляетъ Себѣ домъ и живое обиталище—душу каждаго желающаго (сн. 1 Кор III, 16. 17). Потому что она *легко познается ищущими ее*, говоритъ (Прем. VI, 12), и удобно созерцается *любящими ее. Она сама обходитъ и ищетъ достойныхъ ея* (ст. 16). *Съ ранняго утра ищущій ее не утомится; потому что найдетъ ее сидящею у дверей своихъ* (ст. 14).

3. Ἴδωμεν τοίνυν, πῶς καὶ κατὰ τίνα τρόπον, καὶ τίσι ταῖς ὕλαις ἡ τοῦ Θεοῦ σοφία χρωμένη, τὴν τοῦ ἀνθρώπου ψυχὴν ἑαυτῆς οἶκον κατασκευάζει;

Ἡ σοφία φησὶν ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά. Ἐπὶ τῆς κατασκευῆς τῶν αἰσθητῶν οἴκων, καὶ μάλιστα τῶν ἐπιφανῶν καὶ μεγίστων, καὶ ἀμφότερα ταῦτα παρεῖναι δεῖ· τὴν ἐκ λίθων οἰκοδομήν,

3. Посмотримъ же, какъ, какимъ способомъ и какія средства употребляя, она содѣлываетъ душу человѣка домомъ своимъ?

Премудрость, говоритъ, *построила себѣ домъ, и утвердила его на семи столпахъ.* При постройкѣ чувственныхъ домовъ, и особенно—видныхъ и большихъ, необходимы двѣ вещи:

σμικρῶν τὲ ϕημὶ καὶ μεγάλων, καὶ τὴν ἀπὸ τῶν στύλων βοήθειαν. Ἑκατέρου γὰρ δίχα τούτων ἑκάτερον σαθρόν τε καὶ εὐπερίτρεπτον ἀπεργάσαιτ' ἂν τὸ κτιζόμενον· ἡ δὲ τῶν ἀμφοτέρων συνδρομὴ βεβηκυῖα τὶς ἐς τὰ μάλιστα καὶ ἑδραῖα συγχροτουμένων ὑπ' ἀλλήλων καὶ ὑπανεχόντων ὡς ἂν εἴποι τις ἄλληλα. Τοῦτο δὴ τροπικῶς καὶ ἡ μεγάλη τοῦ Θεοῦ σοφία ποιεῖται, καὶ οἰκοδομῇ καὶ στύλοις ὁμοῦ τὸν ἑαυτῆς κατασκευάζουσα οἶκον. Στύλους τοιγαροῦν αὐτῆς ἑπτὰ νοητοὺς ὑπολητέον ἐνταῦθα, ἢ τοὺς τῆς εὐσεβείας περιφανεῖς διδασκάλους, ἀποστόλους τέ ϕημι καὶ προφήτας, καὶ τοὺς μετ' αὐτοὺς σοφοὺς πατέρας καὶ θεολόγους, ἵν' ᾖ τὸ ἑπτὰ ἀντὶ τοῦ πολλοὺς, ἐπεὶ καὶ τοῦτο τῇ θείᾳ Γραϕῇ σύνηθες, οἵτινες καὶ δογμάτων καὶ πολιτείας πνευματικῆς ἕνεκα τὴν σπουδαίαν ψυχὴν ὥσπερ ἐπὶ κεϕαλῆς αὐτῶν ὡσανεί τινες στύλοι πάντοθεν ὑπανέχουσί τε καὶ διαβαστάζουσι. Πέτρος γάρ ϕησι καὶ Ἰωάννης καὶ Ἰάκωβος, οἱ δοκοῦντες εἶναι στύλοι. Καὶ στύλος, ϕησίν αὖθις ὁ αὐτὸς, καὶ ἑδραίωμα τῆς ἐκκλησίας. Ἡ στύλοι πάλιν ἑπτὰ αἱ μεγάλαι καὶ καθόλου τέσσαρες ἀρεταὶ, τῷ τριμερεῖ τῆς ψυχῆς κατὰ λόγον ἑνούμεναι. Τοῦ γὰρ ἀλόγου τῆς ψυχῆς μέρους, θυμοῦ τέ ϕημι καὶ ἐπιθυμίας, τοῦ μὲν ἀνδρίᾳ, τῆς δὲ σωϕροσύνῃ συναπτομένων, καὶ ϕρονήσει μὲν τοῦ λογικοῦ κοσμουμένου, τῆς δὲ δικαιωσύνης ὡς τοῦ ἴσον διανεμήσεως καὶ τοῖς τρισὶν αὖθις ἐπιτρεπούσης, ὁ τῆς μεγάλης καὶ πρώτης σοφίας οἶκος ὡς ἐν ἑπτὰ στύλοις ἐρείδεται, ταῖς κατὰ μέρος ἀρεταῖς

и постройка изъ камней, малыхъ и великихъ, и поднора столбами. Безъ чего нибудь изъ этого то и другое строеніе выходило бы хрупкимъ и легко обрушивающимся; а сочетаніе обоихъ есть нѣкое ручательство за большую прочность и подкрѣпленіе сложенныхъ частей одна другою и, какъ иной сказалъ бы, поддерживающихъ другъ друга. Въ иносказательномъ смыслѣ дѣлаетъ такъ и великая премудрость Божія, строеніемъ и столпами вмѣстѣ созидая домъ свой. И подъ семью мысленными ея столпами тутъ нужно разумѣть или преславныхъ учителей благочестія, то есть апостоловъ и пророковъ и слѣдовавшихъ за ними мудрыхъ отцовъ и богослововъ (такъ что семь употреблено вмѣсто многіе, пот. что и это обычно въ свящ. Писаніи *), которые относительно догматовъ и духовнаго жительствованія ревностную душу отовсюду поддерживаютъ и носятъ какъбы на головѣ своей, подобно столпамъ нѣкимъ. Ибо говоритъ: *Петръ, Іоаннъ и Іаковъ, почитаемые столпами* (Гал. II, 9). И опъ же опять

*) Ѳеодоритъ въ толкованіи на Пс. XI, 7: „семь разъ пророкъ употребилъ вмѣсто многократно; пот. что это обычно въ Писаніи". См. его же на Пс. LXXVIII, 12 и CXVIII, 64. И еще до него Златоустъ тоже говоритъ въ пятой бесѣдѣ на Іудеевъ, въ XIX бес. на книгу Бытія и въ LXI на Ев. Матеея.

οἱονεί τισι λίθοις μικροῖς καὶ μεγάλοις οἰκοδομούμενος καὶ συναρμολογούμενος, ὅ φησι Παῦλος, τῇ ἀρχιτεκτονίᾳ τοῦ Πνεύματος, ταυτόν δ' εἰπεῖν τῆς σοφίας, εἰς ναὸν ἅγιον. Οὐκ οἴδατε γάρ φησιν ὁ αὐτὸς Κορινθίοις ἐπιστέλλων, ὅτι ναὸς τοῦ Θεοῦ ἐστὲ καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; Καὶ αὖθις. Ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινες ἐστὲ ὑμεῖς. Πρὸς δέ γε τοὺς ἐφεσίους, οὐκέτι φησὶν ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ, ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε φησὶν εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν Πνεύματι. Ὃ καὶ πάλαι μὲν διὰ Μωϋσέως προύλεγεν ὁ Θεός. Ἐνοικήσω γάρ φησιν ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσονταί μοι λαός, κἀγὼ ἔσομαι αὐτῶν Θεός. Χρόνοις δ' ὕστερον ὡς ἄνθρωπος ἐπὶ τὸν σταυρὸν καὶ τὸ πάθος ἰὼν, ὁ ἀγαπῶν με πρὸς τοὺς μαθητὰς αὖθις ἔλεγε, τὸν λόγον μου τηρεύσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Οὕτω καὶ Δαυὶδ ὁ θεοπάτωρ τε καὶ προφήτης, μετὰ τὸ πεσεῖν ὡς ἄνθρωπος καὶ συντρῖψαι τὸν παρ' αὐτῷ τῆς μεγάλης σοφίας τοῦ Πνεύματος οἶκον, ἅμα μὲν τῆς προτέρας τοῦ Θεοῦ χάριτος μεμνημένος, ἅμα δὲ καὶ τὴν τῆς συντριβῆς ἀνάπλασιν μετ' ἐλπίδος ἀγαθῆς ἐκεῖθεν αἰτῶν. περὶ μὲν ἐκείνης πρὸς τὸν Θεὸν ἔλεγε· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σοῦ ἐδήλωσάς μοι· περὶ δὲ ταύτης· καρ-

говоритъ: *столпъ и утвержденіе истины* (1 Тим. III, 15). Или, опять, семь столповъ суть великія главныя четыре *) добродѣтели, правильно соединяемыя въ причастности души. Потому что когда неразумная часть души, разумѣю раздражительность и пожеланіе, соединяются—первая съ мужествомъ, вторая съ цѣломудріемъ, и словесная (разумная) украшается благоразуміемъ, а справедливость распредѣляетъ поровну (по достоинству) и обращаетъ свою дѣятельность къ тѣмъ тремъ, то домъ великой и первой Премудрости утверждается на семи столпахъ, частными добродѣтелями, какъ нѣкими малыми и большими камнями, созидаемый и стройно слагаемый, какъ говоритъ Павелъ (Еф. II, 21), строительствомъ Духа, или что тоже—Премудрости, въ святый храмъ (1 Кор. III, 16). Ибо говоритъ онъ въ посланіи къ Коринѳянамъ: *развѣ незнаете, что вы храмъ Божій, и Духъ Божій живетъ въ васъ?* И тотчасъ: *пот. что храмъ Божій святъ; а этотъ храмъ вы* (ст. 17). А въ посланіи къ Ефесянамъ говоритъ: *вы уже не чужіе и не пришельцы, но сограждане святымъ и свои Богу, бывъ ут-*

*) Четыре, какъ обозначилъ ихъ Аристотель: мужество, благоразуміе, воздержаніе и справедливость. См. Максима Исп. въ 5 сотнѣ Бог. главъ § 95.

δίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Διδάξω γάρ φησιν ἀνόμους τὰς ὁδάς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν. Μονονουχὶ τοῦτο λέγων διὰ τῶν εἰρημένων, ὅτι τοῦ Πνεύματος τῆς σοφίας ἐκείνης ἐπανιόντος μοι πάλιν, ἧς τῶν ἀπορρήτων ἐν γνώσει πάλαι γεγένημαι, καὶ τὸν καταπεσόντα μου τῆς ψυχῆς οἶκον ἄνωθεν κτίζοντος καὶ ἐγκαινίζοντος αὖθις, σοφὸς καὶ πάλιν κατὰ τοπρότερον ἔσομαι καὶ διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Τὸ δ' αὐτὸ καὶ ἐν ἑτέρῳ ψαλμῷ πάλιν ὁ αὐτὸς αἰνιττόμενος, τῷ ἐγκαινισμῷ τοῦ οἴκου τὸν αὐτὸν ἐπιγράφει καὶ ἀνατίθησι, ψαλμὸς τοῦ ἐγκαινισμοῦ λέγων τοῦ οἴκου. Ὅπερ οἱ τῆς νέας ἐξηγούμενοι σοφοί τε καὶ θεολόγοι. ὁ μὲν ᾄδει φησὶ τουτονὶ τὸν ψαλμὸν ὁ Δαυὶδ μετὰ τὸ ἀπολυθῆναι τῆς ἁμαρτίας, ὥσπερ ἀνακαινισθείσης αὐτοῦ ψυχῆς διὰ τῆς μετανοίας, ἥτις καὶ οἶκος ἦν πάλαι τοῦ Ἁγίου Πνεύματος· ἕτερος δ' αὖθις τῇ τῶν ἐγκαινίων φησὶν ἡμέρᾳ τοῦτον ᾄδει τὸν ψαλμὸν ὁ Δαυὶδ, οἴκου τινὰ ἐγκαινισμὸν ὀνομάζων, ὅστις ἐσμὲν ἡμεῖς, οἱ Θεοῦ ναὸς εἶναί τε καὶ ἀκούειν ἠξιωμένοι καὶ γίνεσθαι. Καὶ ἄλλος οἶκον νοῆσαι προσήκει φησὶ τὴν οἰκοδομουμένην ἀπὸ Χριστοῦ ἐκκλησίαν, ἐγκαινισμὸν δὲ τῆς ἐκκλησίας ὑπολητέον τὴν ἀνακαίνωσιν τοῦ νοὸς, τὴν διὰ Πνεύματος Ἁγίου γινομένην τοῖς καθ' ἕνα τῶν συμπληρούντων τὸ σῶμα τῆς ἐκκλησίας τοῦ Χριστοῦ. Οὕτως οἰκοδομεῖ τὴν ἑκάστου τῶν σπουδαίων ψυχὴν ἡ τοῦ Θεοῦ σοφία, καὶ τοιού-

верждены на основаніи апостоловъ и пророковъ, имѣя самого Іисуса Христа краеугольнымъ камнемъ (Еф. II, 19. 20), *на которомъ и вы*, говоритъ, *устрояетесь въ жилище Божіе Духомъ* (ст. 22). Это и въдревности предрекъ Богъ чрезъ Моисея. Ибо говоритъ: *вселюсь въ нихъ и буду ходить въ нихъ; и буду ихъ Богомъ, и они будутъ Моимъ народомъ* (2 Кор. VI, 16. Лев. XXVI, 11. 12). А вънослѣдствіи времени, какъ человѣкъ идя на крестъ и на страданіе, сказалъ опять ученикамъ Своимъ: *кто любитъ Меня, тотъ соблюдетъ слово Мое, и Отецъ Мой возлюбитъ его, и Мы придемъ къ нему и обитель у него сотворимъ* (Іоан. XIV, 23). Такъ и Давидъ богоотецъ и пророкъ, послѣ паденія какъ человѣкъ и сокрушенія въ немъ лома великой премудрости Духа, помня о прежнемъ дарованіи Божіемъ и вмѣстѣ съ тѣмъ съ благимъ упованіемъ молясь о возсозданіи сокрушеннаго, о томъ говорилъ Богу: *недовѣдомое и сокровенное премудрости Твоей открылъ мнѣ Ты* (Пс. L, 8); а объ этомъ: *сердце чистое сотвори мнѣ Боже, и духъ правый обнови внутри меня* (ст. 12). Ибо, говоритъ, *научу беззаконныхъ путямъ Твоимъ, и нечестивые обратятся къ Тебѣ* (ст. 15). Почти такъ выра-

невѣсту себѣ (Прем. VIII, 2). И опять: *не оставляй ея*, говоритъ, *и она поддержитъ тебя; люби ее, и она будетъ оберегать тебя; цѣни ее, и она тебя приметъ съ объятія свои* (Прит. IV, 6. 8). И не это только, но они же суть и столпы и основанія дома, какъ предшествующая рѣчь показала. И угостители и гости и вѣстники призыва они же, и въ этомъ конечно подражая Христу, Который есть и основаніе и краеугольный камень (1 Кор. III, 11. Еф. II, 20), Онъ же и домъ, какъ мѣсто упокоенія (Мѳ. XI, 28) и жилище принимаемыхъ, и вмѣстилище обителей у Него (Іоан. XIV, 1), и дверь дома, вводящая и препровождающая въ царство (Іоан. X, 7. 9), Дарующій царство (Лук. XXII, 29), и Самъ—царство небесное (Ап. XXI, 6), Онъ же—и Царь, и Женихъ небеснаго чертога онаго (Мѳ. XXV, 13). Къ сказанному прибавить нужно, что Онъ же есть и угоститель, и дивный служитель таинъ оныхъ. Ибо говорится: *Онъ препоящется и посадитъ* друзей Своихъ, *и подходя, станетъ служить имъ* (Лук. XII, 37). Не говорю уже, что и снѣдію, и питьемъ, и сѣдалищемъ, и трапезою, и опорою Онъ же подобнымъ образомъ будетъ для блаженныхъ, удостоиваемыхъ тамъ лицезрѣнія Божія.

10. Μεθ' ὑψηλοῦ δὲ τοῦ κηρύγματος συγκαλεῖν λέγονται τοὺς τῆς σοφίας δαιτυμόνας καὶ φίλους, οὐ μόνον διὰ τὸ τῶν μυστηρίων ὕψος, ἐφ' οἷς δήπου προηγουμένως καλοῦσιν ἐκείνους ὅσα τέ φημι περὶ θεολογίας τῆς ἀνάρχου θεότητος τῆς μιᾶς καὶ ἀδιαιρέτου Τριάδος, καὶ ὅσα περὶ τῆς τοῦ Χριστοῦ διὰ σαρκὸς ἀῤῥήτου περὶ ἡμᾶς οἰκονομίας, ἀλλὰ καὶ διὰ τὸ λαμπρὸν καὶ διάτορον εἶναι τοῦ θείου κηρύγματος τῶν προφητῶν τε καὶ ἀποστόλων, καὶ ὡς οὐκ ἐν γωνίᾳ καὶ παραβύστῳ, ἀλλ' ὥσπερ ἐν θεάτρῳ τινὶ παγκοσμίῳ μετὰ πολλῆς τῆς παῤῥησίας καὶ λέλεκται ταῦτα καὶ πέπρακται. „Ἄκουε γὰρ οὐρανὲ καὶ ἐνωτίζου ἡ γῆ, φησὶν ὁ μεγαλοφωνότατος Ἡσαΐας, ὅτι Κύριος ἐλάλησεν· υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν". Καὶ πάλιν ὁ αὐτός· „τάδε λέγει Κύριος· ἐπ' ὄρους ὑψηλοῦ ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιών, ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε μὴ φοβεῖσθε". Ὁ δὲ μέγας Δαβὶδ καὶ λέξεσι αὐταῖς τὸ περὶ τῆς σοφίας τοῦτο ποιεῖται κήρυγμα, ὡς τῷ δεῖνι προσδιαλεγόμενος καὶ τῷ δεῖνι, οὐδὲ πρὸς τόδε τὸ μέρος ἀποτεινόμενος μόνον, ἀλλὰ καὶ ὁμοῦ καὶ πᾶσαν ἐξαισίως τὴν οἰκουμένην καλῶν. „Ἀκούσατε γάρ φησι ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τοαὐτὸ πλούσιος καὶ πένης· τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν". Ὁ δὲ Χριστὸς τοὺς μαθητὰς ὕστερον ἀποστέλλων ἐπὶ τὸ κήρυγμα τοῦτο,

10. Съ возвышеннымъ же провозглашеніемъ, говорится, созываютъ гостей и друзей мудрости, не только по причинѣ высоты таинъ, къ коимъ то есть главнымъ образомъ призываютъ ихъ, таинъ богословскаго ученія о безначальномъ божествѣ единой и нераздѣльной Троицы, и ученія о неизреченномъ воплощеніи Христовомъ ради нашего спасенія, но и по причинѣ лепости и пронзительности божественной проповѣди пророковъ и апостоловъ, и такъ какъ не въ углу какомъ и скрытномъ мѣстѣ, а какъбы на какомъ всемірномъ зрѣлищѣ съ большою откровенностію и говорилось это, и дѣлалось. Ибо говоритъ велегласнѣйшій Исаія: *слушай, небо, и внимай, земля; потому что Господь сказалъ: я воспиталъ и возрастилъ сыновъ, а они отпали отъ Меня* (Ис. I, 2). И опять опъже: *Такъ говоритъ Господь: взойди на высокую гору, благовѣстникъ Сіона, возвысь съ силою голосъ свой, благовѣствующій Іерусалиму! Возвысьте, не бойтесь* (Ис. XL, 9). А великій Давидъ и самыми выраженіями изображаетъ эту проповѣдь о мудрости, бесѣдуя не къ тому-то и тому-то, и не обращая рѣчи только къ одной сторонѣ, но вмѣстѣ призывая и всю вселенную. Ибо говоритъ: *слушайте это всѣ народы; внимайте сему всѣ живущіе во*

πορευθέντες φησὶν εἰς τὸν κόσμον ἅπαντα, μαθητεύσατε πάντα τὰ ἔθνη, διδάσκοντες αὐτ᾽ς φησι τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν. Καὶ ὃ φησιν ἐμάθετε ἐν τῇ σκοτίᾳ. εἴπατε εἰς τὸ φῶς· καὶ ὃ πρὸς τὸ οὖς ἠκούσατε, κηρύξατε ἐπὶ τῶν δωμάτων. Διὸ καὶ μετὰ τὴν ἀνάληψιν αὐτ῀ καὶ τὴν τ῀ Πνεύματος κάθοδον εὐθὺς ἐν Ἱερουσαλὴμ διδάσκοντες καὶ θαυματουργ῀ντες, ἐπεὶ ὁ ἀρχιερεὺς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων μετὰ πληγῶν αὐτ᾽ς ἐλαύνοντες καὶ δεσμοτηρίων ἐκέλευον σιωπᾷν, αὐτοὶ λαμπρῶς τε καὶ πεπαῤῥησιασμένως εἰ δίκαιόν ἐστιν ἔλεγον ἐνώπιον τοῦ Θεοῦ ὑμῶν μᾶλλον ἀκούειν ἢ τ῀ Θεοῦ, κρίνατε. Οὐ δυνάμεθα γὰρ ἡμεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν. Ὅθεν δὴ καὶ ὁ μέγας Παῦλος οὕτω περὶ τῶν ἀποστόλων ἐπιστέλλων ἔλεγέ πᾳ Ῥωμαίοις· εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Καὶ Κορινθίοις αὖθις, θέατρόν φησιν ἐγενήθημεν τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Οὕτως ἡ τ῀ Θεοῦ σοφία τ᾽ς ἰδίας δο῀λας καὶ φίλας ἀπέστειλεν, ἐπὶ κρατῆρα μετὰ ὑψηλ῀ κηρύγματος συγκαλ῀σα.

вселенной, и простые и знатные, вмѣстѣ богатый и бѣдный! Уста́ мои изрекутъ премудрость, и думы сердца моего вразумленіе (Пс. XLVIII, 2—4). А Христосъ вѣпослѣдствіи, посылая учениковъ на проповѣдь сію, говоритъ: *идите по всему міру* (Мар. XVI, 15), *научите всѣ народы, уча ихъ соблюдать все, что Я повелѣлъ вамъ* (Мѳ. XXVIII, 19. 20). *И что,* говоритъ, *вы узнали въ темнотѣ, говорите при свѣтѣ; и что на ухо слышите, проповѣдуйте на кровляхъ* (Мѳ. X, 27). Посему и по вознесеніи Его и сошествіи Духа Святаго тотчасъ въ Іерусалимѣ уча и чудодѣйствуя, когда первосвященникъ и старѣйшины Іудейскіе, грозя имъ бичами и темницами, приказывали молчать, они громко и смѣло сказали: *судите, справедливо ли предъ Богомъ слушать васъ болѣе, чѣмъ Бога? Потому что мы не можемъ не говорить того, что видѣли и слышали* (Дѣян. IV, 19. 20). Потому и великій Павелъ такъ говоритъ нѣгдѣ въ посланіи къ Римлянамъ: *по всей землѣ прошелъ голосъ ихъ, и до предѣловъ вселенной слова ихъ* (Рим. X, 18). И въ посланіи къ Коринѳянамъ говоритъ опять: *мы сдѣлались позорищемъ для міра, для ангеловъ и человѣковъ* (1 Кор. IV, 9). Такъ вотъ Премудрость Божія послала Своихъ

11. Τί δὲ καὶ τὸ, πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν, πρὸς ἐκείνους τοὺς ἐνδεεῖς φρενῶν ὁμοίως λεγόμενον ὑπ' ἐκείνης; Ἐμὸς μέν φησιν ὁ οἶνος, ὥσπερ δὴ καὶ ὁ ἄρτος, ὃν ὑμῖν εἰς βρῶσιν προτέθεικα· ἀλλὰ τοῖς δαιτυμόσιν ὑμῖν τοῦτον κεκέρακα. Ἐμοὶ μὲν γὰρ ἄκρατα πάντα καὶ ἀμιγῆ τὰ θεῖα μυστήρια παντὸς ἀνθρωπίνου καὶ γεώδους καὶ λόγου καὶ πράγματος. Ἐρευνῶν γὰρ καθάπερ ἠκούσατε πάντα, καὶ τὰ βάθη τοῦ Θεοῦ, τῇ δ' ἀνθρωπίνῃ συγκατιοῦσα καὶ νῦν ἀσθενείᾳ, καὶ ὕδατι κιρνῶ τὸν οἶνον ὑμῖν, ἵν' εὐφράνῃ καρδίαν, μὴ τὸν ἐγκέφαλον ἀσθενοῦντα διασείσῃ σάλῳ τινὸς καὶ ἰλίγγου πληρώσας τῷ τῆς δυνάμεως περιόντι. Οὕτω πρὸς τὸν Μωϋσῆν ἔλεγεν ὁ Θεὸς, ἐπιζητοῦντα γνωστῶς ἐκεῖνον ἰδεῖν, ὅτι ἰδήσω σε εἰς ὀπὴν τῆς πέτρας· ἡνίκα δ' ἂν παρέλθῃ ἡ δόξα μου, καὶ σκεπάσω σε τῇ χειρί μου· καὶ ἀφελῶ τὴν χεῖρα μου, καὶ ὄψει τὰ ὀπίσω μου, τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι. Οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου καὶ ζήσεται. Οὕτως ὁ Δανιὴλ ἐν πνεύματι τὴν ὀπτασίαν ὡς αὐτός φησι τὴν μεγάλην ἐκείνην βλέπων, οὐχ ὑπελείφθη ἐν ἐμοὶ φησιν ἰσχὺς, καὶ ἡ δόξα μου ἐστράφη εἰς διαφθοράν, καὶ οὐκ ἐκράτησα ἰσχύος. Καὶ πάλιν, ἔφριξε τὸ πνεῦμα μου φησιν, ἐγὼ Δανιὴλ, ἐν τῇ ἕξει μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάρασσόν με. Καὶ ἰδοὺ χεὶρ ἁπτομένη μου, καὶ ἤγειρέ με ἐπὶ τὰ γόνατά μου. Καὶ

слугъ и друзей, съ возвышеннымъ провозглашеніемъ созывая на чашу.

11. Чтоже означаетъ и говоримое такъжде Премудростію къ опымъ, скуднымъ умомъ: *пейте вино, которое Я растворила вамъ?* Конечно, говоритъ, Мое вино, какъ и хлѣбъ этотъ, который Я предложила вамъ въ снѣдь; но для васъ угощаемыхъ Я растворила его. Потому что у Меня все чисто, и божественныя тайны не имѣютъ примѣси какого нибудь человѣческаго и земного сказанія и дѣла. Проникая все, какъ вы слышали, и глубины Божіи (1 Кор. II, 10), но снисходя и къ человѣческой немощи, я и водою растворяю для васъ вино, чтобы оно веселило сердце (Пс. CIII, 15), не колебало немощнаго мозга, приводя его въ круженіе и волненіе превосходствомъ силы. Поэтому Моисею, проспвшему увидѣть Бога явно, Онъ сказалъ: *поставлю тебя въ разсѣлинѣ скалы; когдаже будетъ проходить слава Моя, то я покрою тебя рукою Моею. И когда сниму руку Мою, то увидишь Меня сзади, а лице Мое не будетъ видно тебѣ. Потому что человѣкъ не можетъ увидѣть лица Моего и остаться въ живыхъ* (Исх. XXXIII, 20. 22. 23). Посему Даніилъ, *когда*, какъ самъ говоритъ, *смотрѣлъ* духовно *на то великое видѣніе*,

εἶπε πρὸς μέ· μὴ φοβῦ Δανιὴλ, ὅτι ἠκούσθησαν οἱ λόγοι σου, κἀγὼ ἦλθον ἐν τοῖς λόγοις σου. Ὡσανεὶ τὸν κρατῆρα τῶν ὑπερφυῶν θεωρημάτων τῆς σοφίας ἐνταῦθα κιρνώσης τε καὶ ἀναμιγνύσης τοῖς φιλανθρώποις τουτοισὶ καὶ πράγμασι καὶ ῥήμασι τοῦ ἀγγέλου.

то не осталось во мнѣ, говоритъ, *силы, лице мое разстроилось, и не стало во мнѣ крѣпости* (Дан. X, 8). И еще говоритъ: *воспрепеталъ духъ мой у меня, Данiила, въ тѣлѣ моемъ, и видѣнiя главы моей смутили меня* (Дан. VII, 15). *И вотъ коснулась меня рука, и подняла меня на колѣни мои. И сказалъ онъ мнѣ: не бойся, Данiилъ! потому что слова твои услышаны, и я пришолъ по молбѣ твоей* (Дан. X, 10. 12). Здѣсь Мудрость какъбы растворяетъ и подмѣшиваетъ чашу сверхъестественныхъ созерцанiй человѣколюбивыми этими и дѣйствiями и рѣчами ангела.

12. Οὕτως οἱ προφῆται συμβόλοις καὶ εἰκόσιν ἀνθρωπίναις ἑώρων τὸν Θεὸν καὶ τὰ θεῖα, καὶ συμβολικῶς ἐμυοῦντό τε καὶ ἐδίδασκον ὡσαύτως τὸν θεῖον λόγον, καθάπερ καὶ προλαβόντες διὰ πολλῶν ἐδείξαμεν ἤδη, τῆς τοῦ Θεοῦ σοφίας πανταχοῦ τὰ περιπέζια καὶ ἀνθρώπινα τοῖς ὑψηλοῖς τε καὶ θείοις παραμιγνύσης ὁμοίως ἔν τε λόγοις καὶ πράγμασιν ὑπὲρ τοῦ κοινῆ τῶν ἀνθρώπων λυσιτελοῦντος. Ὅ δὴ καὶ εὐαγγελιστὴς ὕστερον ἔλεγε που περὶ αὐτῆς τῆς σοφίας, ὅτι ταύταις παραβολαῖς ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο ἀκούειν. Ὅπερ ἂν εἴη πάντως τὸ, ὕδατι κιρνᾷν τὸν οἶνον τοῖς δαιτυμόσι, τὴν θείαν σοφίαν.

12. Такъ пророки посредствомъ символовъ и образовъ человѣческихъ созерцали Бога и божественные предметы, и посредствомъ символовъ такъже познавали и изучали слово Божіе, какъ мы раньше уже достаточно показали, такъ какъ Премудрость Божія, для общей пользы человѣческой, всюду, одинаково въ рѣчахъ и дѣйствiяхъ, къ высокимъ и божественнымъ предметамъ примѣшиваетъ низменные и человѣческіе. Посему-то и Евангелистъ впослѣдствiи сказалъ въ одномъ мѣстѣ о тойже Премудрости: *таковыми многими притчами проповѣдывалъ имъ слово, сколько они могли слышать* (Мар. IV, 33). Это

13. Οὕτως αἰνιγματωδῶς ἡ τ῀ Θεοῦ σοφία τήν τε μυστικὴν καὶ ὑψηλοτάτην ἑτοιμάσασα τράπεζαν, καὶ τ῀ς δαιτυμόνας μεθ' ὑψηλοῦ τ῀ κηρύγματος συγκαλεσαμένη, τοῖς ἄφροσί τε καὶ τοῖς ἐνδεέσι φρενῶν τὰ πρόσφορα διὰ βραχέων οἱονεὶ προδιαλεχθεῖσα, κοινὰ καθεξῆς ἐπιφέρει τὰ παραγγέλματα πᾶσι πρός γε τὸ ἁπλ῀ν καὶ σαφέστερον μετατιθεῖσα τὸν λόγον. Οὐκέτι γὰρ θύματα σφάττει καὶ κρατῆρα κίρνησι, καὶ ἐπ' ἄρτον τὲ καὶ οἶνον ἕλκει τ῀ς καλουμένης. Ἀλλὰ τί φησιν; Ἀπολίπετε ἀφροσύνην, καὶ ζήσεσθε· καὶ ζητήσατε φρόνησιν, ἵνα βιώσητε· καὶ κατορθώσατε σύνεσιν ἐν γνώσει. Ἦ τοίνυν τὰ προῤῥηθέντα σ῏μβολικῶς σοφῶς ἡ τ῀ Θεοῦ νυνὶ σαφηνίζει σοφία, δεικνῦσα τανῦν ὡς ἦδὲ πρότερον περὶ κρεῶν, ἦδέγε περὶ ἄρτ῀ καὶ οἴν῀ τῶν εἰς κοιλίαν καὶ ἀφεδρῶνα χωρ῀ντων ὁ λόγος ἦν αὐτῇ τοπαράπαν, ἀλλὰ περὶ ἀρετῆς καὶ γνώσεως θείας καὶ εὐσεβείας, πραγμάτων τὲ θείων καὶ ὑψηλῶ, καὶ πολλῷ τινι τῷ μέσῳ καὶ καθ' ὑπερβολὴν παριόντων τὰ χαμερπῆ καὶ ἀνθρώπινα ταῦτα. Τοῦτο γὰρ, ὡς ἂν εἴποι τις, τὸ τὴν ἀφροσύνην ἀπολιπόντας κτήσασθαι φρόνησιν θείαν καὶ κατορθῶσαι σύνεσιν ἐν γνώσει, ἤ τ῀τογε εἰπεῖν ἐστι μᾶλλον, ὅτι μυστικῶς ἐπὶ τὰ μυστικά τε καὶ θεῖα τ῀ς δαιτυμόνας καλέσασα, καθὰ δὴ καὶ προσ῏κε, νῦν καὶ τὸν τ῀ς ἐργασίας καὶ τ῀ς ἀσκήσεως ἐκείνων ὑποδείκνυσι τρόπον, διδάσκουσα

будетъ равнозначуще выраженію, что Премудрость Божія растворила для гостей вино водою.

13. Такъ загадочно Премудрость Божія приготовивши таинственную и возвышеннѣйшую трапезу, и громкою проповѣдію созвавши гостей, сперва сказавши неразумнымъ и скудоумнымъ приличное имъ, затѣмъ простираетъ общія всѣмъ наставленія, дѣлая рѣчь простою и болѣе ясною. Потому что уже не закалаетъ жертвы и не растворяетъ чаши, а на хлѣбъ и вино приглашаетъ призываемыхъ. Чтоже гиворитъ? *Оставьте безуміе, и будете жить; пожелайте разсудительности, чтобъ пріобрѣсть жизнь, и усовершайте разумѣніе вѣдѣніемъ!* Такъ Премудрость Божія премудро дѣлаетъ нынѣ очевиднымъ то, что было предсказано символически, ясно показывая, что и прежде совсѣмъ не о мясахъ, и не о хлѣбѣ и винѣ, входящихъ во чрево и исходище, шла у ней рѣчь, но о добродѣтели, познаніи Бога и благочестіи, предметахъ божественныхъ и высокихъ, великимъ разстояніемъ и преимуществомъ превосходящихъ эти низменныя и человѣческія вещи. Ибо это, можно сказать, означаетъ: оставивши неразуміе пріобрѣсть разумѣніе вещей божественныхъ и усовершить попятливость вѣдѣніемъ. Или лучше сказать: таинственно позвавши

τὴν φέρουσαν οἱονεὶ πρὸς τὸν οἶκον ἐκεῖνον καὶ τὰ ἐκεῖ μυστικὰ τρίβον· καὶ πῶς ἀπαντῆσαι τοὺς ἐπ' ἐκεῖνα σπεύδοντας χρὴ, καὶ μεθ' οἵων τῶν ἐφοδίων, ὥσπερ ἂν εἰ καὶ στρατιώτην ὁπλίζει τις καὶ ἀθλητὴν ἀλείφει, γενομένους οἷον ἐν χρῷ τοῦ πολέμου καὶ τοῦ σταδίου καὶ τῶν ἀγώνων ἤδη μέλλοντας ἐπιβαίνειν.

14. Διακελεύεται τοίνυν ὁμοῦ τοὺς τε παντελῶς ἄφρονας καὶ τοὺς ἐνδεεῖς φρενῶν, τοὺς μὲν τὴν παντελῆ, τοὺς δὲ τὴν μερικὴν ἀπολιπεῖν ἀφροσύνην, ἵνα ζήσωσι, τὴν πνευματικὴν δηλονότι ζωὴν καὶ τοῦ θανάτου τῆς ἁμαρτίας ἀπηλλαγμένην, τὴν εἰς τὴν χώραν ἐκείνην τῶν ἀληθῶς ζώντων φέρουσαν, ὅπου ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμὸς ἀπὸ τοῦ λύπης καὶ ὀδύνης μεστοῦ καὶ θανατηφόρου τούτου χωρίου. Ἐπεὶ γὰρ κατὰ τὴν παροιμίαν „οἱ πόδες τῆς ἀφροσύνης εἰς ἅδου κατάγουσι τοὺς χρωμένους αὐτῇ καὶ ὁδοὺς ζωῆς οὐκ ἐπέρχεται, ἔθετο γὰρ παρὰ τῷ θανάτῳ τὸν οἶκον αὐτῆς καὶ παρὰ τῷ ἅδῃ τοὺς ἄξονας αὐτῆς, καὶ πάντες οἱ πορευόμενοι ἐν αὐτῇ οὐκ ἀναστρέφουσιν· οὐ γὰρ καταλαμβάνονται ὑπὸ ἐνιαυτῶν ζωῆς“, εἰκὸς, μᾶλλον δὲ καὶ πᾶσα ἀνάγκη τοὺς ταύτης ἀφισταμένους ἐν τῇ μακαρίᾳ γενέσθαι ζωῇ τε καὶ λήξει, καὶ νῦν φημι, καὶ κατὰ τὸν ἀτελεύτητον ἐκεῖνον αἰῶνα.

гостей на таинственное и божественное угощеніе, какъ и слѣдовало, теперь указываетъ на способъ дѣйствованія и упражненія имъ, наставляя на путь, ведущій къ дому тому и заключающимся въ немъ сокровеннымъ вещамъ, и какъ надлежитъ являться туда направляющимся къ нимъ, и съ какими запасами, подобно какъ и скоро имѣющихъ выступить на борьбу—воина снабжаютъ оружіемъ, а борца намащаютъ наканунѣ борьбы и бѣга.

14. Итакъ въ одно и тоже время увѣщеваетъ и совсѣмъ неразумныхъ и скудоумныхъ, однихъ оставить полное неразуміе, а другихъ частичное, чтобы жить, то есть жить духовною жизнію и свободно отъ смерти грѣховной (Рим VI, 16), ведущею въ ту страну истинно живущихъ (Іоан. VI, 35), гдѣ нѣтъ горести, печали и стенанія (Ис. XXXV, 10. Ап XXI, 4), свойственныхъ этому полному скорби и горя и смертоносному мѣсту. Ибо, поелику, какъ говорится въ книгѣ Притчей, *ноги безумія низводятъ руководствующихся имъ во адъ, и путями жизни оно не ходитъ* (V, 5. 6), *такъ какъ домъ свой поставило оно на дорогѣ къ смерти, и стези ея ведутъ къ аду; всѣ, ходящіе безумно, не *) возвращаются, и не дос-*

*) Не возвращаются то есть на правый путь.

15. Τί δέ ἐστι τὸ, ζητήσατε φρόνησιν, ἵνα βιώσητε, καὶ κατορθώσατε σύνεσιν ἐν γνώσει; Σύνεσιν καὶ φρόνησιν καὶ γνῶσιν τὲ καὶ σοφίαν ταυτόν τι καὶ ἓν εἶναί τινες εἰρήκασι παρὰ τῷ σοφῷ Σολομῶντι· ἐγὼ δὲ τὴν μὲν φρόνησιν μέγιστον ἂν εἴποιμι τῆς σοφίας μέρος καὶ οἱονεὶ τῶν ἀδύτων καὶ τῶν ἀπορρήτων αὐτῆς μυστηρίων θύραν. Ἡ κρατίστη γάρ ἐστι τῶν γενικωτάτων τεττάρων μεγάλων ἀρετῶν, ἥτις τῷ λογικῷ τῆς ψυχῆς συναφθεῖσα, καθάπερ ἐν ἀρχαῖς εἴρηταί μοι τȣ̃ λόγου, τὸν ἄνθρωπον ὅλον ὥσπερ ἡνιοχεῖν καὶ ἄγειν καλῶς πέφυκε. Τὸ δ' αὐτὸ καὶ γνῶσιν ἂν εἴποι τις λέγεσθαι θείαν, οἱονεὶ προσεξεργασθεῖσαν καὶ ὀψωθεῖσαν. Οὔτε γὰρ περὶ τῆς φυσικῆς γνώσεως ἡμῖν ὁ λόγος ἐνταῦθα, ὥσπερ ἠδὲ τῆς φυσικῆς φρονήσεως πέρι, οὔτε περὶ τῆς μερικῆς αὖθις. Οὐδὲ γὰρ τὴν τȣ̃δε τȣ̃ πράγματος γνῶσιν φησίν, ἀλλὰ γνῶσιν ἀψευδῆ, τὴν περὶ Θεοῦ, καθόσον οἷόντε, καὶ τῶν θείων πάντως, ἥτις ἐκ τῶν τῆς ἀρετῆς ἀγώνων καὶ τȣ̃ πρὸς τὰ πάθη νοητȣ̃ πολέμȣ τὲ καὶ τῆς νίκης προσγίνεσθαι πέφυκε τῷ σπηδαίῳ. Περὶ ἧς ὁ σοφὸς οὗτος τινὰς εἰσάγει τȣ̃ δικαίȣ δῆθεν κατηγορȣ̃ντας καὶ λέγοντας· „ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ παῖδα Κυρίȣ ἑαυτὸν ὀνομάζει“ι

тщатъ лѣтъ жизни (II, 18. 19): то естественно, а лучше сказать и совсѣмъ необходимо, оставившимъ безуміе наслаждаться блаженною жизнію и участію, и теперь конечно, и въ нескончаемомъ ономъ вѣкѣ.

15. Чтоже значитъ „ищите разумѣнія, чтобъ жить, и усовершайте смысленность вѣдѣніемъ“? Нѣкоторые высказались, что у мудраго Соломона одно и тоже обозначаютъ разумѣніе, смысленность, знаніе и мудрость; а я назвалъ бы разумѣніе величайшимъ отдѣломъ мудрости и какъбы дверью къ священнымъ и неизреченнымъ ея тайнамъ. Потому что оно есть превосходнѣйшая изъ главныхъ четырехъ добродѣтелей, и въ соединеніи съ разумною частію души, какъ сказано мною въ началѣ сего слова, какъбы править всѣмъ человѣкомъ и прекрасно руководить имъ. А по этому самому и знаніе нужно разумѣть божественное, то есть усовершенствованное (1 Кор. II, 5) и возвышенное. Ибо тутъ у насъ рѣчь не о естественномъ знаніи, а такъже и не о естественномъ разумѣніи, и, опять, не о частичномъ (1 Кор. XIII, 10—12) знаніи. Говоритъ не о знаніи такого-то дѣла, но о знаніи неложномъ, знаніи о Богѣ, насколько возможно, и знаніи божественныхъ предметовъ конечно, которое у человѣка ревностнаго

Ὁ δὲ ἀπόστολος ἔν γε τῇ τῶν θείων χαρισμάτων ἀπαριθμήσει καὶ ταύτην τιθεὶς, ἐὰν ἔχω πᾶσαν τὴν γνῶσιν φησί. Σύνεσις δὲ ἡ μέν τις ἐστὶ φυσικὴ, καθ' ἣν τῶν πραγμάτων καὶ τῶν λόγων αὐτῶν καὶ τῶν ἐννοιῶν λαμβάνομεν αἴσθησιν, ἣ δὴ καὶ φυσικῶς τοῖς λογικοῖς πρόσεστι πᾶσιν. Ἡ δ' ὑπὸ τῆς θείας γνώσεως ἀγομένη καὶ ὡσανεὶ τυπουμένη σοφία γίνεται Θεοῦ ἄντικρυς, αὐτῇ γε συναπτουσα τῇ θείᾳ σοφίᾳ τὸν κεκτημένον. Ταύτην τὴν μετὰ γνώσεως ἔνθεον σύνεσιν καὶ ὁ θεῖος Δαβὶδ νῦν μὲν αἰτῶν παρὰ τοῦ Θεοῦ φαίνεται πρὸς κατόρθωσιν τῶν ἐντολῶν καὶ τοῦ νόμου καὶ τῶν θείων δικαιωμάτων ἔρευναν ἀκριβεστέραν καὶ γνῶσιν, ὁδὸν δικαιωμάτων σου, λέγων, συνέτισόν με καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου. Καὶ πάλιν· συνέτισόν με καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. Καὶ αὖθις, δικαιοσύνη τὰ μαρτύριά σου, εἰς τὸν αἰῶνα συνέτισόν με καὶ ζήσομαι. Ποτὲ δὲ καὶ ὡς λαβὼν ἐκείνην καὶ κατορθώσας ἤδη τὸ πᾶν, ὑπὲρ πρεσβυτέρους καὶ πάντας τοὺς διδάσκοντάς με συνῆκα, πρὸς τὸν Θεὸν αὖθις ἔλεγεν, ὅτι μαρτύριά σου μελέτη μού ἐστί. Καὶ διὰ τοῦτο τὸ στόμα μου λαλήσει σοφίαν, φησί, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. Ἐπεὶ γὰρ αὐτὸς τῇ παρ' ἑαυτοῦ σπουδῇ τε καὶ γνώσει τὸν θεῖαν ἐκτήσατο θησαυρὸν, καὶ τοῖς ἐκτὸς ἀφθόνως μεταδίδωσι τουτον· σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ λέγων, καὶ μωροὶ ποτὲ φρονήσατε. Καὶ· σύνετε ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ. Καὶ αὖθις· τίς σοφὸς καὶ φυλάξει

пріумножается *) отъ подвиговъ добродѣтели, отъ мысленной войны со страстями и побѣды надъ ними. Мудрый этотъ представляетъ нѣкоторыхъ, обвиняющихъ сіе знаніе и говорящихъ: *объявляетъ себя имѣющимъ познаніе о Богѣ, и называетъ себя сыномъ Господа* (Прем. II, 13). Апостолъ же, въ перечисленіи божественныхъ дарованій и его положивши (1 Кор. XII, 8), говоритъ: *если имѣю всякое познаніе* (1 Кор. XIII, 2). Смысленность же есть нѣкое естественное свойство, по которому мы замѣчаемъ предметы и положеніе ихъ и представляемъ себѣ ихъ, которое и отъ природы свойственно всѣмъ существамъ разумнымъ. А водясь знаніемъ божественнымъ и такъ сказать запечатлѣвалсь имъ, она становится открыто мудростію Божіею, соединяя пріобрѣвшаго ее съ самою Божественною мудростію. Такую съ знаніемъ боговдохновенную смысленность испрашиваетъ отъ Бога и святый Давидъ для исполненія заповѣдей и закона и найлучшаго изслѣдованія и познанія оправданій (требованій) божественныхъ, говоря: *вразуми*

*) См. Іов. XXVIII, 8 Прит. 1, 7. „Сподобившись частичнаго знанія отъ Бога, не пренебрегай любовію и воздержаніемъ; потому что онѣ очищаютъ страстную часть души и подготовляютъ тебѣ путь къ познаванію“. Максимъ исповѣдникъ въ IV сотнѣ главъ о любви, глава 57.

ταῦτα; καὶ συνήσουσι τὰ ἐλέη τοῦ Κυρίου. Ταύτην καὶ Χριστὸς τὴν σύνεσιν αἰνιττόμενος ἐν τοῖς θείοις εὐαγγελίοις νῦν μὲν τοῖς μαθηταῖς ἐπιπληκτικώτερον ἔλεγεν· ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοι ἐστέ; πῶς οὐ συνήκατε, ὅτι περὶ τοῦ δεῖνος εἶπον ὑμῖν; Ἄλλοτε δ' αὖθις πρὸς τοὺς αὐτοὺς ἔλεγε μετὰ τὴν παραβολικὴν ἑαυτοῦ δηλονότι διδασκαλίαν· συνήκατε ταῦτα πάντα; Διὰ τοῦτο, φησι, πᾶς γραμματεὺς, μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά.

меня о пути повелѣній Твоихъ, и буду размышлять о чудесахъ Твоихъ (Пс. CXVIII, 27). И опять: *вразуми меня, и буду разыскивать законъ Твой и хранить его всѣмъ сердцемъ моимъ* (ст. 34). И еще: *правда откровеній Твоихъ вѣчна; вразуми меня, и буду жить* (ст. 144). А въ другихъ случаяхъ и какъ стяжавшій ее и уже во всемъ дѣйствовавшій успѣшно, тутъже взывалъ къ Богу: *я сталъ разумнѣе болѣе старцевъ и всѣхъ учителей моихъ, потому что размышляю объ откровеніяхъ Твоихъ* (Пс. CXVIII, 99. 100). И посему, говоритъ, *уста мои изрекутъ премудрость, и размышленіе сердца моего* (доставитъ) *разумѣніе* (Пс. XLVIII, 4). И послѣ того какъ собственнымъ усердіемъ и умѣніемъ пріобрѣлъ божественное сокровище, онъ и впѣшнимъ сообщаетъ его обильно, говоря: *образумьтесь, безсмысленные люди, и поумнѣйте когда-нибудь, невѣжды* (Пс. XCIII, 8)! И: *уразумѣйте это, забывающіе Бога* (Пс. XLIX, 22)! И опять: *кто премудръ и сохранитъ сіе? И уразумѣютъ милости Господни* (Пс. CVI, 43). На это уразумѣніе и Христосъ намекая во святыхъ Евангеліяхъ однажды съ укоризною говорилъ ученикамъ: *неужели и вы еще не разумѣете*, что я сказалъ вамъ вотъ о чемъ (Мѳ.

16. Περὶ γουν ταύτης καὶ ἡ τοῦ Θεοῦ φησι νῦν Σοφία· κατορθώσατε σύνεσιν· οὐχὶ τὴν ἁπλῶς καὶ φυσικὴν σύνεσιν. Φυσικῶς γὰρ ἐνοῦσα πᾶσι τοῖς λογικοῖς ἐκείνη καθάπερ εἰπὼν ἔφθην, οὐδὲ πόνων, οὐμενοῦν· οὐδὲ κατορθώσεως δεῖται, ὥσπερ οὐδὲ τἆλλα τὰ φυσικά. Ἀλλὰ κατορθώσατέ φησι σύνεσιν, τὴν ἀγῶσι καὶ πόνοις πνευματικοῖς κατορθουμένην ἐν γνώσει. Ἐπειδὴ γὰρ τούς τε ἄφρονας καὶ τοὺς ἐνδεεῖς φρενῶν, ἅμα καὶ πάντας ἁπλῶς, τῆς ἀφροσύνης ἀπέστησε, ζητήσατέ φησι φρόνησιν καὶ κατορθώσατε σύνεσιν ἐν γνώσει. Καὶ τὸ ἔπαθλον οἷον (διὰ γάρ τινων ὡς εἰπεῖν τε καὶ ἀκοῦσαι βραχέων τὰ μέγιστά τε καὶ πλεῖστα, μᾶλλον δὲ καὶ τὰ πάντα περιλαμβάνει)· ἵνα ζήσητέ φησι καὶ βιώσητε, τὴν μακαρίαν ἐκείνην καὶ ἄπονον δηλαδὴ ζωὴν τὴν ὄντως ἀληθινὴν καὶ ἀγήρω. Ἢ βιώσετε μὲν ἐνταῦθα βίον ἐπαινετόν τε καὶ θεῖον, καὶ βραχύ τι τῆς ἀγγελικῆς ἀποδέοντα πολιτείας· ἐν δὲ τῇ μελλούσῃ λήξει τὴν ὄντως ζωὴν ἐκείνην ζήσετε, τὴν μὴ διακοπτομένην θανάτῳ.

XV, 16. 17)? А въ другой разъ опять, послѣ приточнаго Своего поученія, сказалъ: *поняли ль вы все это? Поэтому*, говоритъ, *всякій книжникъ, наученный царству небесному, подобенъ хозяину, который выноситъ изъ сокровищницы своей новое и старое* (Мѳ. XIII, 51. 52).

16. Объ этомъ конечно разумѣніи говоритъ теперь и Мудрость Божія: *пріобрѣтите разумѣніе* (Прит. IV, 5), не простой и естественный разумъ. Потому что этотъ, отъ природы присущій всѣмъ существамъ словеснымъ, не имѣетъ нужды ни въ трудахъ, нисколько! ни въ пріобрѣтеніи, какъ и другія природныя качества. Но, говоритъ, пріобрѣтайте разумѣніе, подвигами и трудами духовными усовершаемое въ вѣдѣніи. И отстранивши несмысленныхъ и нуждающихся въ умѣ, да и всѣхъ вообще, отъ неразумія, говоритъ: взыщите разума и устройте пониманіе вѣдѣніемъ. А какова награда (потому что въ краткихъ рѣченіяхъ и слышимыхъ вещахъ обнимаетъ весьма важные и многіе предметы, а лучше сказать даже все)? Чтобы, говоритъ, вамъ существовать и жить блаженною и безболѣзненною жизнію, дѣйствительно истинною и неувядаемою. Или: будете вы жить здѣсь жизнію похвальною и богоугодною, немногимъ чѣмъ

17. Ὅρα δὲ καὶ τὸν διδασκαλικὸν τρόπον, πῶς ἀπὸ τῶν χθαμαλῶν καὶ περιπεζίων ἐπὶ τὰ μείζω καὶ τελεώτερα κατ' ὀλίγον ὡσανεὶ διά τινος κλίμακος ἀναφέρει. Ἐν ἀρχῇ μὲν γὰρ τοὺς ἄφρονας, ἅμα καὶ τοὺς φρενῶν ἐνδεεῖς, διὰ τῶν ἰδίων καλοῦσα δούλων, τοῖς μὲν ἔλεγεν· ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με, τοῦτο μόνον ἐπί γε τοῖς ἄφροσιν ἀρκεσθεῖσα τέως· πρὸς δὲ τοὺς φρενῶν ἐνδεεῖς ἔλθετέ φησι, φάγετε τὸν ἐμὸν ἄρτον καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν, τὸ ἀσθενὲς ἐκείνων καὶ ἄτονον διὰ τούτων ῥωννύουσα τέως. Ἐπεὶ δὲ πρὸς ἑαυτὴν ἐπισπάσασθαι δι' ἐκείνων ἠδυνήθη τοὺς κεκλημένους, ἀπολείπετέ φησιν ἀφροσύνην καὶ ζήσεσθε. Ζῶντες γὰρ νῦν, τὴν ἀληθινὴν ζωήν, τὴν ἐν Χριστῷ κεκρυμμένην, οὐμενοῦν ζῆτε. Ἐπεὶ δὲ καὶ τὸ τέλειον ἐχρῆν ὑποδεῖξαι, ἵνα κἂν τοῖς προοιμίοις αὐτοῖς τὸ ἀπηρτισμένον ὁ λόγος ἐμφαίνῃ καὶ ὅπως οἱ σπουδαῖοι καὶ τίνα τὸν τρόπον συνάπτονται τῇ σοφίᾳ καὶ δέσποιναν καὶ ἀδελφὴν καὶ νύμφην κατὰ τὸν αὐτὸν σοφὸν ὑπερφυῶς τὴν αὐτὴν κτῶνται, τί φησιν; Ζητήσατε φρόνησιν καὶ κατορθώσατε σύνεσιν ἐν γνώσει, ἵνα βιώσητε ὀηλονότι καὶ συμβιώσητε τῇ θείᾳ σοφίᾳ, καὶ ζήσητε σὺν αὐτῇ τὴν ἀληθινὴν ζωὴν ὄντως καὶ αἰωνίαν, καθὰ δὴ καὶ πολλάκις φθάσας ὁ λόγος ἐδήλωσε.

уступающею ангельскому жительствованію, а въ будущей славѣ поживете въдѣйствительности тою блаженною жизнію, которая не прекращается смертію.

17. Обрати жъ вниманіе и на способъ ученія, какъ отъ предметовъ низменныхъ и ничтожныхъ понемногу какъ бы по лѣсницѣ какой возводитъ къ предметамъ возвышеннѣйшимъ и совершеннѣйшимъ. Ибо вначалѣ чрезъ своихъ рабовъ призывая людей неразумныхъ, а вмѣстѣ съ ними и скудоумныхъ, однимъ она говорила „*кто неразуменъ, обратись ко мнѣ*“, этимъ только довольствуясь пока относительно неразумныхъ; а скудоумнымъ говоритъ: *идите, пшьте хлѣбъ мой и пейте вино, мною для васъ растворенное,* прежде всего укрѣпляя этимъ безсиліе и разслабленіе ихъ. А когда чрезъ тѣхъ успѣла привлечь къ себѣ званныхъ, то говоритъ: *оставьте неразуміе, и живите.* Потому что живя теперешнею жизнію, вы не живете жизнію истинною, сокровенною во Христѣ (Кол. III, 3). А такъ какъ надлежало намѣтить и конечную цѣль, чтобы рѣчь съ самаго начала показала имъ совершенство, какъ и какимъ способомъ ревностные сдружаются съ мудростію и необычно, по выраженію тогоже мудраго, имѣютъ ее госпожею (Прем. 9, 10), и сестрою (Прит. VII, 4) и невѣстою

18. Ταῦτα μὲν οὖν ὡς ἐν βραχεῖ τὰ πρὸς τοὺς εἰσαγομένους παραγγέλματα καὶ προκηρύγματα τῆς θείας σοφίας· ἀκούσομεν δὲ, πῶς καὶ τοὺς διδασκάλους ἐξῆς καταρτίζει; Πρὸς γὰρ ἐκείνους τέως τρέπει τὸν λόγον, διδάσκουσα, πῶς καὶ τίσι δεῖ τὸν λόγον πιστεύειν. Τί οὖν φησιν; Ὁ παιδεύων κακοὺς λήψεται ἑαυτῷ ἀτιμίαν· ἐλέγχων δὲ τὸν ἀσεβῆ μωμήσεται ἑαυτόν. Οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ μώλωπες αὐτῷ. Μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε· ἔλεγχε σοφὸν καὶ ἀγαπήσει σε. Δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. Κακοὺς καὶ ἀσεβεῖς τὴν σοφίαν οἶμαι λέγειν ἐνταῦθα οὐχὶ τοὺς δι' ἄγνοιαν καὶ τοῦ καλοῦ ἀμαθίαν ἁπλῶς ἐνισχημένους ἀσεβείας τε καὶ κακίας προλήψει, ἀλλὰ τοὺς ἑκόντας ἀσεβεῖς καὶ κακοὺς ὄντας, καὶ μὴ θέλοντας μηδὲ βουλομένους τὸ παράπαν μηδ' ὁπωσοῦν δι' ἐσχάτην ἀβελτηρίαν καὶ περιουσίαν φαυλότητος ἀποστῆναι τῆς κακουργίας. Τούτους γὰρ ὅ γε παιδεύειν ἐπιχειρῶν φησι καὶ διδασκαλικῶς ὅτῳ δήποτε διορθοῦσθαι τρόπῳ καὶ δὴ καὶ τοῖς ἰατρικοῖς θεραπεύειν ἐλέγχοις, ἀνύσει μὲν τὸ παράπαν οὐ-

(Прем. VIII, 2), что говоритъ? *Взыщите разума и усовершайте смысленность вѣдѣніемъ* (Прит. IX, 6), чтобы несомнѣнно жить и пребывать съ мудростію божественною, и жить съ нею подлинно жизнію истинною и вѣчною, какъ уже и раньше часто указывалось въ настоящей рѣчи.

18. Таковъ вкратцѣ увѣщанія и заявленія божественной мудрости, обращенныя къ приглашаемымъ; но послушаемъ, какъ затѣмъ наставляетъ и учителей? Потому что къ нимъ на нѣкоторое время обращаетъ рѣчь, научая, какъ и кому надлежитъ возвѣщать слово. Чтоже говоритъ? *Поучающій злыхъ наживетъ себѣ безчестіе, а обличающій нечестиваго — пятно себѣ; потому что обличенія нечестивому — удары ему. Не обличай злыхъ, чтобы они не возненавидѣли тебя; обличай мудраго, и онъ возлюбитъ тебя. Дай наставленіе мудрому, и онъ будетъ еще мудрѣе; дай замѣтить мудрому, и онъ пріумножитъ слушать.* Злыми и нечестивыми, думаю, называетъ здѣсь мудрость не просто предпочитающихъ нечестіе и злобу по причинѣ невѣдѣнія своего и незнакомства съ добромъ, а нечестивыхъ и злыхъ по своему изволенію, по своей крайней тупости и избытку недобросовѣстности совсѣмъ не хотящихъ и

δὲν τῶν σπουδαζομένων· οὐδὲ γὰρ ὡς τῶν σφετέρων πληγῶν θεραπείαν, ἀλλ' ὡς πληγὰς καὶ τραύματα μᾶλλον ἐκεῖνοι νομιοῦσι τοὺς τῶν διδασκάλων ἐλέγχους καὶ τὴν παιδείαν. Οὔτε γοῦν ἐκείνους ὁ διδάσκων ὠφελήσει καθάπαξ μὴ βουλομένους, καὶ μῶμον ἑαυτῷ καὶ ἀδοξίαν τὴν παρ' ἐκείνων δηλονότι περιποιήσεται. Τοὺς γοῦν τοιούτους μηδαμῶς ἔλεγχέ φησι φίλος, μηδὲ προσερέθιζε τὴν ἑκούσιον μοχθηρίαν, ἵνα μὴ μισήσωσί σε. Εἰ γὰρ καὶ πρὸς τὸν ὀκνηρὸν δοῦλον ὀνειδιστικῶς ἔλεγεν ὁ δεσπότης· διατί οὐκ ἔδωκας τὸ ἀργύριόν μου ἐπὶ τὴν τράπεζαν; ἀλλὰ καὶ τοῖς μαθηταῖς αὐτός ἐστιν αὖθις ὁ λέγων· μὴ δῶτε τὰ ἅγια τοῖς κυσί, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς τοῖς ποσί, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς. Καὶ ὁ ἀπόστολος πρὸς Τιμόθεον αὖθις αἱρετικὸν φησιν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς, ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἔστιν αὐτοκατάκριτος. Καὶ Χριστὸς δὲ πάλιν αὐτὸς ἐπὶ τὸ κήρυγμα πρὸ τοῦ σταυροῦ τοὺς μαθητὰς ἀποστέλλων, εἰς ἣν ἂν πόλιν μὴ δέξωνται ὑμᾶς ἔλεγεν, ἐξερχόμενοι καὶ τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν ἀποτινάξατε εἰς μαρτύριον αὐτοῖς.

не имѣющихъ намѣренія отстать отъ злодѣяній. Принимающійся за обученіе такихъ именно, говоритъ, и за исправленіе ихъ какимъ либо способомъ наставленія и за леченіе цѣлебными обличеніями, совсѣмъ не будетъ имѣть успѣха въ своихъ заботахъ; потому что учительныя обличенія и обученіе они сочтутъ не уврачеваніемъ своихъ язвъ, а напротивъ ударами для себя и ранами. И конечно имъ не принесетъ учитель никакой пользы противъ ихъ желанія, и несомнѣнно навлечетъ себѣ отъ нихъ насмѣшки и безславіе. Такихъ посему ты, другъ, не обличай и не раздражай произвольно испорченныхъ, чтобы они не возненавидѣли тебя. Ибо хотя Владыка и сказалъ укоризненно къ лѣнивому рабу: *почему не отдалъ сребра моего торгующимъ* (Мѳ. XXV, 27)? но и ученикамъ опять Онъ же говоритъ: *не давайте святыни псамъ, и не бросайте жемчуга вашего предъ свиньями, чтобъ они не попрали его ногами своими и, обратившись, не растерзали васъ* (Мѳ. VII, 6). И апостолъ опять въ посланіи къ Тимоѳею говоритъ: *еретика послѣ перваго и втораго вразумленія отвращайся, зная, что таковый развратился и грѣшитъ, будучи самоосужденъ* (Тим. III, 10). Да и Христосъ самъ въ другой разъ, посылая учениковъ

19. Διαπορήσειε δ' ἄν τις ἐπὶ τούτοις εἰκότως, πῶς ὁ Χριστὸς τοῖς μαθηταῖς οὕτω ταῦτα λέγων τε καὶ διδάσκων, οὐχ οὕτως αὐτὸς ἐπὶ τῶν ἔργων φαίνεται δράσας. καίτοιγε αὐτός ἐστιν ὁ λέγων· ὃς ἂν ποιήσῃ καὶ διδάξῃ, μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Καὶ ἡ τῶν Ἀποστολικῶν Πράξεων ἱστορία περὶ πάντων φησὶν ἐποιησάμην τὸν πρῶτον λόγον, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν. Πῶς οὖν οὗτος τοὺς παρανόμους καὶ κακίστους γραμματεῖς τε καὶ φαρισαίους ἐπὶ πάντων σφοδρῶς παρὰ πάντα σχεδὸν τὸν τοῦ κηρύγματος διέλεγχε χρόνον, διὸ καὶ φθονηθείς, καὶ μῖσος καὶ ὕβρεις οὐμενοῦν φορητὰς, καὶ τὴν ὑπέρτιμον ὑπ' ἐκείνων καταδεξάμενος ἀτιμίαν, σταυρὸν ὑπέστη τὸ τελευταῖον καὶ θάνατον;

на происвѣдь прежде крестныхъ страданій, заповѣдалъ *въ какомъ городѣ не примутъ васъ, выходя оттуда отрясите и прахъ отъ ногъ вашихъ, во свидѣтельство имъ* (Лук. IX, 5).

19. При этомъ естественно кому нибудь недоумѣвать, почему Христосъ, такъ говоря и заповѣдуя ученикамъ, Самъ не такъ, оказывается, поступалъ на дѣлѣ, хотя Самъ же сказалъ: *кто сотворитъ и научитъ, тотъ великимъ наречется въ царствѣ небесномъ* (Мѳ. V, 19). И въ исторіи Дѣяній Апостольскихъ говорится: *первую книгу написалъ я о всемъ, что Іисусъ дѣлалъ и чему училъ отъ начала.* Какъже такъ Онъ почти во все продолженіе проповѣди Своей сильно во всемъ обличалъ преступавшихъ законъ и злобныхъ книжниковъ и фарисеевъ, по чему и навлекъ на Себя зависть (Мѳ. XXVII, 18), и испытавши отъ нихъ недоброжелательство и оскорбленія, невыносимыя и безчестіе незаслуженное, претерпѣлъ наконецъ крестъ и смерть.

20. Πρῶτον μὲν οὖν ἐκεῖνο γε δεῖ σκοπεῖν ἀναγκαίως, ὡς πάντων καὶ Δεσπότης καὶ Κύριος ὢν ὁ Χριστὸς, οὐ παραπλησίως τοῖς δούλοις, οὐδὲ κατὰ ταὐτὰ καὶ αὐτὸς δήπου ταῖς αὐταῖς ὑπέκειτο τοῦ νόμου ἀνάγκαις. Εἰ γὰρ ἀνθρώπῳ δικαίῳ νόμος οὐ κεῖται καθά φησιν ὁ σοφὸς Παῦλος, ἅτε δὴ καὶ ὑπὲρ τὸν νόμον καὶ τὰς ἐκεῖθεν

20. Прежде всего необходимо имѣть въ виду то, что Христосъ, будучи Владыкою и Господомъ всего, не подобно рабамъ и не одинаково съ ними безъисключенія подлежалъ самымъ требованіямъ закона. Потому что, если *положенъ законъ не для праведника*, по слову мудраго Павла

ἐντολὰς εἰσαεὶ διαγίγνεσθαί τε καὶ πολιτεύειν ἐσπουδακότι, πῶς ὁ τῶν δικαίων ἄρα νομοθέτης τε καὶ δεσπότης ταῖς ἀνάγκαις ὑποπεσεῖται τοῦ νόμου; Ἀλλ' ὥσπερ ἐν ταῖς ἐντολαῖς τοῦ νόμου λέγοντος μὴ φονεύσῃς, ὁ Χριστὸς ἐκέλευε μηδὲ ὀργισθῆναι, κἀκείνου γε αὖθις ἀντὶ ὀδόντος ὀδόντα καὶ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ δικαίως τὸν δεδρακότα κακῶς ἀπαιτοῦντος, ἐγὼ μηδὲ ἀντιστῆναί φημι τῷ πονηρῷ, φιλανθρώπως οὗτος ἔλεγεν αὖθις, μᾶλλον μὲν οὖν τῷ τύπτοντι τὴν δεξιὰν σιαγόνα στρέφειν καὶ τὴν ἑτέραν, καὶ τῷ στεροῦντι τοῦ χιτῶνος καὶ τὸ ἱμάτιον προσεπιδιδόναι, καὶ τἄλλα παραπλησίως· οὕτω κἀνταῦθα τὴν παροιμιακὴν παραίνεσιν πολλῷ τινι τῷ μέσῳ τὸ εὐαγγέλιον ὑπερβαίνει, τὸ ἐλλεῖπον ἐκείνης καὶ ταπεινὸν τοῦ Χριστοῦ προσαναπληροῦντος. Οὐκ ἦλθον γάρ φησι καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι. Ἔπειτα, εἰ καὶ κακοὶ καὶ κακῶν κάκιστοι τῶν Ἰουδαίων οἱ προύχοντες ἦσαν, ἀλλ' οὐχὶ καὶ τῆς δουλείας ἦσαν ἔξω τοῦ νόμου· ἀλλ' ὑπέκειντο καὶ μὴ βουλόμενοι δήπου. Διὸ καὶ τοὺς ἐλέγχους ἐκεῖθεν ὁ Χριστὸς ἐπῆγε τὸ πλεῖστον τὸν τοῦ Θεοῦ νόμον καὶ τοὺς προφήτας κατὰ κεφαλῆς ἐφιστὰς ἐκείνοις, καὶ τὴν παράβασιν τούτων πικρῶς ὀνειδίζων· ὃ δὴ καὶ ὁ βαπτιστὴς Ἰωάννης ἐπὶ τὴν Ἰουδαίαν καὶ τὸν Ἰορδάνην ἀποσταλεὶς πρὸς Θεοῦ, πρὸς τοὺς αὐτοὺς Ἰουδαίους ὡςαύτως ἔδρα, τῷ τῆς μετανοίας κηρύγματι φημὶ τοὺς ἐλέγχους ἀναμιγνὺς μετὰ παῤῥησίας. Τόδ' αὐτὸ καὶ πρὸς τὸν Ἡρώ-

(1 Тим. I, 9), такъ какъ праведникъ *) всегда старается пребывать и жительствовать выше закона и заповѣдей закона, какъ Законоположникъ и Владыка праведниковъ станетъ подчиняться требованіямъ закона? Но какъ, тогда какъ въ заповѣдяхъ законъ постановлялъ *не убивай*, Христосъ повелѣвалъ даже *не гнѣваться* (Мѳ. V, 21. 22), и когда законъ опять справедливо требовалъ *зубъ за зубъ, и око*, худо сдѣлавшее, *за око*, Христосъ человѣколюбиво сказалъ тоже: *а Я говорю вамъ не противиться злу, но кто ударитъ тебя въ правую щеку твою, обрати къ нему и другую, и отнимающему рубашку отдай и верхнюю одежду* (Мѳ. V, 38—40), и иное подобное; такъ и здѣсь Евангеліе на много превышаетъ Ириточное наставленіе, такъ какъ Христосъ восполняетъ недостающее въ немъ и смиреніе Ибо говоритъ: *не нарушить законъ или пророковъ пришелъ Я, но исполнить* (Мѳ. V, 17). Затѣмъ, хотя выдающіеся изъ Іудеевъ и были людьми

*) Златоустъ во второй бесѣдѣ на посл. къ Тимоѳею: „кто выше закона, не дѣтоводится закономъ“—и проч. Онъ же на посл. къ Галат. V, 23. говоритъ, что душа, водимая Духомъ, не имѣетъ нужды въ законѣ: „какъ кони благопослушные не требуютъ бича, такъ и душа, исполняющая добродѣтель по любви, не требуетъ грозы закона“.

δὴν παρανομοῦντα μετὰ μικρὸν αὖθις ἐποίει, ἅτε δὴ καὶ αὐτὸν Ἰουδαῖον ὄντα καὶ τοῖς αὐτοῖς ὑποκείμενον νόμοις. Ἄλλως θ' ὅταν ἡ τινῶν παρανομία οὐκ ἐν αὐτοῖς τοῖς παρανομοῦσιν ἱστῆται μόνοις, ἀλλὰ καὶ ἑτέροις τῆς ἐκεῖθεν μεταδιδῶ λύμης, ἔστι δ' ὅτε καὶ πρὸς τὸ κοινὸν τὸ κακὸν διαβαίνῃ, ὅπερ ἐπὶ τῶν Ἰουδαίων ἐγίγνετο τότε, οὐ δεῖ παρορᾶν, οὐδέ γε φείδεσθαι τηνικαῦτα· ἀλλ' ὁμόσε χωρεῖν αὐτίκα κατὰ τῶν λύκων, τὴν λεοντὴν περιβαλλομένους, λέγω δὴ τὴν ἀλήθειαν, μετὰ σφοδροῦ τοῦ ζήλου καὶ τῆς καλῆς παῤῥησίας. Ὁ δὴ καὶ Χριστὸς αὐτὸς πρὸς ἐκείνους ἐποίει τὸ τηνικαῦτα μετὰ πολλῆς τῆς ῥώμης, ἀναστέλλων τὴν εἰς τὸ ἔθνος ἅπαν διαβαίνειν μέλλουσαν λύμην. Οὕτω καὶ Παῦλος ὁ μέγας. Ἐλύμα τοῦ μάγου, τὸν ἀνθύπατον διαστρέφειν ἐπιχειροῦντος, οὐκ ἐφείσατο· ἀλλὰ καὶ τὴν γλῶτταν σφοδρὰν ἐπαφῆκε μετὰ τοῦ προσήκοντος ζήλου καὶ τοὺς ὀφθαλμοὺς ἐπήρωσεν ἄχρι καιροῦ, τοῦ τῆς ἐπιγνώσεώς φημι καὶ τῆς ἐπὶ τὸ κρεῖττον μεταμελείας, καίτοιγε Κορινθίους αὐτὸς οὗτος οὐχ οὕτω περὶ τῶν τοιούτων διδάσκων. Ἔγραψα γάρ φησιν ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ συναναμίγνυσθαι πόρνοις, καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου, ἢ τοῖς πλεονέκταις ἢ ἅρπαξιν ἢ εἰδωλολάτραις· ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν. Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; Νῦν δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ἢ πόρνος ἢ πλεονέκτης ἢ λοίδορος ἢ μέθυσος ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ

дурными и худшими изъ дурныхъ, нестаки не стояли внѣ ига законнаго, но и противъ желанія своего подлежали ему. Потому и Христосъ отсюда весьма часто приводилъ обличенія, главнымъ образомъ представляя имъ законъ Божій и пророковъ, и съ горечью упрекая въ нарушеніи ихъ. Потому же и крститель Іоаннъ, посланный Богомъ въ Іудею и на Іорданъ, такимъ же образомъ поступалъ относительно тѣхъже самихъ Іудеевъ, то есть—къ проповѣди покаянія примѣшивая смѣлыя обличенія. Тоже самое немного послѣ оказалъ и относительно преступнаго Ирода, какъ тоже Іудея и подлежавшаго тѣмъже законамъ. А особенно, когда преступность не ограничивается только преступниками закона, а и другимъ отъ себя сообщаетъ заразу, и даже иногда становится общественнымъ порокомъ, что и на Іудеяхъ сбывалось тогда, не должно оставлять безъ вниманія и не должно тогда щадить, но тотъчасъ выступать противъ волковъ, облачающихся въ львиную кожу, то есть истину,—выступать съ сильнымъ негодованіемъ и прекраснымъ дерзновеніемъ. Такъ и самъ Христосъ съ великою стремительностію дѣйствовалъ противъ нихъ, сдерживая заразу, готовую перейти на весь народъ. Такъ и Павелъ великій не пощадилъ

συνεσθίειν. Καὶ ὁ σκοπός· ἵνα ἐντραπῇ φησιν ὁ τοιοῦτος. Καὶ τῷ μαθητῇ δὲ περὶ τῶν ἐχθρῶν, καθάπερ ἔφθην εἰπών, ἐπιστέλλων αἱρετικὸν ἄνθρωπον παραιτοῦ, περὶ τῶν φίλων τί φησιν αὖθις; ἐπίστηθι εὐκαίρως, ἀκαίρως· ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον. Οὕτω καὶ τοὺς ἁγίους πανταχοῦ ποιοῦντας εὑρήσεις, καὶ μάρτυράς φημι καὶ ἀποστόλους καὶ διδασκάλους. Διωκόμενοι μὲν γὰρ ἔφευγον κατά γε τοὺς θείους χρησμοὺς ἀπό τε πόλεως εἰς πόλιν, καὶ ἐκ τόπου αὖθις εἰς τόπον· ἐπὶ δὲ συνέδρια καὶ ἡγεμόνας καταδίκων ἀγόμενοι δίκην, οὐκ ἀπεπήδων, οὐδὲ τὴν τάξιν οὗμενουν ἐδραπέτευον, ὡσανεί τινες λειποτάκται, ἀλλὰ καὶ μετὰ πολλῆς παρετάττοντο τῆς παῤῥησίας, τοῖς προσήκουσι χρώμενοι καὶ λόγοις καὶ ἔργοις, τῆς ἐντολῆς καὶ αὖθις τοῦ Χριστοῦ μάλα καλῶς καὶ κατὰ καιρὸν μεμνημένοι, ὅταν ἐπὶ βασιλεῖς ὑμᾶς ἄγωσι καὶ ἡγεμόνας λεγούσης, μὴ φοβηθῆτε· ἐγὼ γὰρ δώσω ὑμῖν φησι στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οἱ ἀντικείμενοι ὑμῖν. Καὶ μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι.

Елиму волхва, который старался проконсула совратить съ пути истины, но и сильно укорилъ съ прилично ревностію и лишилъ зрѣнія до времени (Дѣян. XIII, 11),—до времени то есть раскаянія и перемѣны на лучшее. Между тѣмъ самъ же онъ не такъ наставлялъ Коринѳянъ относительно подобныхъ случаевъ. Ибо говоритъ: *писалъ я вамъ въ посланіи не сообщаться съ блудниками, впрочемъ не вообще съ блудниками міра сего, или лихоимцами, или хищниками, или идолослужителями; ибо иначе надлежало бы вамъ выйти изъ міра сего. Ибо что мнѣ судить и внѣшнихъ? Но я писалъ вамъ не сообщаться съ тѣмъ, кто, называясь братомъ, остается блудникомъ или лихоимцемъ, или идолослужителемъ, или злорѣчивымъ, или пьяницею, или хищникомъ; съ такимъ даже и не пость вмѣстѣ* (1 Кор. V, 9—11). Цѣль же та, *чтобы*, говоритъ, *устыдился таковый* (2 Сол. 3, 14). И въ посланіи къ ученику своему сказавши о врагахъ (какъ я уже упомянулъ): *еретика отвращайся* (Тит. III, 10), о друзьяхъ что говоритъ опять? *Настой во время и не во время, обличай, запрещай, увѣщавай* (2 Тим. IV, 2). Найдешь, что и святые всюду такъ поступали, разумѣю мучениковъ, апостоловъ и учителей. Ибо гонимые, они, согласно божественнымъ

21. Καὶ τὰ μὲν τῆς Χριστοῦ διδασκαλίας καὶ ὅπως ἡμᾶς χρὴ κατὰ τὸν προσήκοντα σκοπόν τε καὶ λόγον ταύτῃ κεχρῆσθαι τοιαῦτα. Οὐδὲ γὰρ παρέργως καὶ ἡμᾶς διακεῖσθαι δεῖ περὶ ταῦτα, οὐδὲ τὴν οἰκονομίαν καὶ τὴν διαίρεσιν ταυτηνὶ παρατρέχειν. Ὁ δὲ Χριστὸς, ὅπερ εἶπον, καὶ ὑπὲρ ταῦτα. Δεσπότης γὰρ ὢν ὁ αὐτὸς ἅμα καὶ νομοθέτης, καὶ πάσης τῆς κτίσεως ὑπερφυῶς ἀνῃρημένος τὸ κράτος, ὑπὲρ τοὺς κειμένους τὰ καθ' ἑαυτὸν οἰκονομεῖ πάντα νόμους, πάντας ὑπὸ μίαν ἔχων δουλείαν· ὅπου καὶ κρίσιν καὶ νόμον ἑαυτὸν καὶ τὸ οἰκεῖον βουλόμενον μόνον μετὰ πολλῆς τῆς ἰσχύος πεποιημένος ἐν παντὶ

предсказаніямъ (Мѳ. X, 23. XXIII, 34. Мрк. VI, 11), бѣгали изъ города въ городъ, и съ мѣста на мѣсто; а ведомые подобно преступникамъ на судилища и къ правителямъ (Мѳ. 10, 17. 18), они не отрекались, и не отказывались отъ своего званія подобно какимъ бѣглымъ, но со многимъ дерзновеніемъ противодѣйствовали, примѣняя приличныя слова и дѣла, и опять весьма хорошо и во время припоминая заповѣдь Христову, глаголющую: *когда поведутъ васъ къ царямъ и правителямъ, не бойтесь; потому что Я дамъ вамъ уста и премудрость, которой не возмогутъ противорѣчить противящіеся вамъ* (Мѳ. X, 18. 26. Лук. XXI, 15). *И не бойтесь убивающихъ тѣло, душижъ не могущихъ убить* (Мѳ. X, 28).

21. Таково ученіе Христово и то, какъ надлежитъ намъ пользоваться имъ сообразно съ цѣлію и разумомъ. Потому и намъ надлежитъ не слегка (не мимоходомъ) относиться къ сему, и не процускать безъ вниманія сего распредѣленія и различія. Христосъ же, какъ я сказалъ, и выше сего. Самъ будучи владыкою и законоположникомъ, и по власти несравненно превышая всякую тварь, Онъ распоряжается всѣмъ превыше положенныхъ частныхъ законовъ, всѣ равно имѣя въ подчиненіи, во всякое мгновеніе времени съ великою крѣпостію ставя

τῷ τοῦ καιροῦ παραστάντι. Διὸ καὶ τοῖς ἄλλοις τὰ κάλλιστα καὶ ὑψηλότατα πάντα νομοθετῶν ἐκεῖνα καθάπερ ἔφην, καὶ προσέτι τὸ ῥαπιζομένοις ἐπὶ τῆς δεξιᾶς σιαγόνος στρέφειν καὶ τὴν ἑτέραν, ἵνα μὴ πρὸς ὀργὴν καὶ φόνον κατὰ μικρὸν ἐκεῖθεν ἐκκυλισθῶσι, καὶ δὴ καὶ τὸ μὴ κρίνειν, μηδ' ἀντιβαίνειν μηδ' ὁτιοῦν, μηδ' ἐπεξιέναι τοῖς ἀδικοῦσιν, αὐτὸς ἐν τῷ τοῦ καιροῦ παραστάντι, οὐ καταταυτά τοις ἑαυτοῦ λόγοις τε καὶ τοῖς πράγμασι φαίνεται κέχρημένος. Οὐ μόνον γὰρ οὐχὶ καὶ τὴν ἄλλην ὑπέθεικε παρειὰν ἐν τῷ καιρῷ τοῦ πάθους τῷ πλῆξαι τετολμηκότι, ἀλλὰ καὶ ἀντιλέγει καὶ κρίνει μετὰ τοῦ προσήκοντος σχήματος καὶ τῆς ἐξουσίας, καὶ ἐξελέγχει τὸν ὑβριστὴν· πόῤῥω τοῦ δικαίου τετολμηκότα. Οὔτε γὰρ ὑποψία πάθους τις ἦν παρὰ τῷ ἀπαθεῖ δήπου, καὶ τὸν πρὸς ὀργὴν ἐκτραπέντα διαπράξασθαί τι καὶ ὁπωσοῦν τῶν μὴ καθηκόντων καὶ τὸν παρανομήσαντα καὶ διδάσκειν ἔδει καὶ κρίνειν καὶ διορθοῦσθαι· ἐπεὶ καὶ διδάσκαλος καὶ κριτὴς ἅμα καὶ βασιλεὺς καὶ Θεὸς καὶ πάντ' ἦν ὁ αὐτός, καὶ οὐκ ἔδει παριδεῖν τὸ παράπαν ἐκεῖνον, ὃ δὴ καὶ ἐγίγνετο, καλῶς τε καὶ ἀξίως τοῦ διενεργοῦντος ἐκεῖνα.

себя и Свое хотѣніе какъ судьбу и законъ. Посему для другихъ узаконяя все то прекрасное и возвышенное, какъ я сказалъ, и ударяющимъ въ правую щеку обращать еще и другую (Мѳ. V, 39) чтобы отсюда по немногу не доходили до раздраженія и убійства, то и не осуждать, и не сопротивляться нисколько, и не мстить обидящимъ (Мѳ. V, 44. VI, 14. VII, 1), самъ Онъ по требованію времени не одинаково приводилъ въ исполненіе Свои слова и дѣла. Ибо не только не подставилъ другую щеку дерзнувшему ударить Его во время страданія, но и возражаетъ и осуждаетъ съ подобающимъ видомъ и со властію, и изобличаетъ обидчика, несправедливо ударившаго (Іоан. XVIII, 22). Потому что конечно не призрачное какое страданіе терпѣлъ Безстрастный, и надлежало и поучить, и осудить и исправить дошедшаго въ раздраженіи до совершенія чего не подлежащаго, и преступившаго законъ; такъ какъ самъ Онъ былъ вмѣстѣ и Учитель и Судія, и Царь и Богъ, и все, и не подобало Ему совсѣмъ безъ вниманія оставить того наглеца, что и произошло прекрасно и достойно Лица, сдѣлавшаго то.

22. Ἀλλὰ ταῦτα μὲν ἀρκούντως εἰρήσθω· σκοπῶμεν δ' ὁμοίως κἀκεῖνα. Ἔλεγχε σοφόν φησι, καὶ ἀγαπήσει σε. Δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσ-

22. Но объ этомъ довольно сказаннаго; такъже разсмотримъ и дальнѣйшее. *Обличай мудраго*, говоритъ, *и онъ возлюбитъ тебя. Дай наставленіе мудрому*,

θήσει τοῦ δέχεσθαι. Καὶ τίνα τὴν ἀκολουθίαν ἔχει τὸ, τὸν σοφὸν καὶ δίκαιον ἐλέγχειν τε καὶ διδάσκειν; Ἢ τίνος γε τῶν τοιούτων καὶ ὀπηδῶν ἔχουσι Χρείαν ἐκεῖνοι, σοφοί τε καὶ δίκαιοι ὄντες, ὥσπερ ἄν εἰ καὶ τῷ ὑγιαίνοντι λέγοι τις τὰ ἰατρικὰ φάρμακα, καὶ τὴν ἐκεῖθεν θεραπείαν κατασκευάζειν; Ἄφρονας μὲν γὰρ καὶ φρενῶν ἐνδεεῖς εἰκότως ἐπὶ τὴν σχολὴν καὶ τὸ παιδευτήριον ἡ θεία σοφία παριέναι προτρέπει· σοφοὺς δὲ καὶ δικαίους ὅτου χάριν; Πρόσεσχε τῷ σοφῷ σκοπῷ τῆς θείας σοφίας. Ὥσπερ καὶ γὰρ ἀσεβεῖς εἰποῦσα καὶ κακοὺς ἀνωτέρω, οὐ τοὺς δι' ἄγνοιαν ἢ πρόληψίν τινα τοῦ κακοῦ, ἀλλὰ τοὺς ἐθελοντὰς ἀλιτηρίους ἠνίξατο καὶ δραπέτας τοῦ ἀγαθοῦ, σπουδάζοντας ὅλῳ θυμῷ καὶ χερσὶν ὅ φασιν ὅλαις ἐπαγωνιζομένους τῇ τοῦ κακοῦ ἐργασίᾳ, οὓς μηδὲ διδάσκειν, μηδ' ἐπὶ ματαίοις ἠξίωσε δήπου πονεῖν. παρὰ κωφὸν ἄδοντας ἢ νεκρῷ πρὸς οὓς διαλεγομένους κατὰ τὴν ἔξωθεν παροιμίαν. Ὃ δὴ καὶ φθάσας ἡμῖν ὁ λόγος ὑπέδειξεν, οὕτω κἀνταῦθα σοφόν τε καὶ δίκαιον, τὸν δικαιοσύνης τε καὶ σοφίας ἀντιποιούμενον καὶ ὁπωσοῦν ἔφη ἐπαινοῦντα τὲ τὴν ἀρετὴν καὶ τῶν ἐκείνης σπεύδοντα χορευτῶν εἶναι, εἰ καὶ σκάζει καὶ ἀτονεῖ περὶ τοὺς ἐντελεστέρους ἀγῶνας. Ἔτι καὶ τὴν τελετὴν τῶν ἀπορρήτων ἐκείνης, ὡς ἄν τις εἴποι, καὶ μὴν καὶ τὸν μήπω μὲν τοὺς τῆς ἀρετῆς ἀγῶνας ἐμβατεύοντα καθαρῶς, μηδὲ τῶν ταύτης πραγμάτων ἁψάμενον, μηδ' ὁπωστιοῦν, τῆς κακίας δ' ἄρτι μόνον ἀποκλίναντα πρώτως, καὶ πρὸς τὸ

и онъ будетъ еще мудрѣе; научи правдиваго, и онъ пріумножитъ знаніе. И есть ли соотвѣтствіе въ томъ, чтобы мудраго и праведнаго обличать и научать? Или въ чемъ такомъ и къ чему имѣютъ нужду они, будучи мудрыми и правдивыми, подобно какъ еслибы кто сказалъ, что готовить врачебныя средства и леченіе ими здороваго? Неразумныхъ и скудоумныхъ основательно побуждаетъ Божественная мудрость обращаться къ ученымъ занятіямъ и образованію; а мудрыхъ и праведныхъ чего ради? Обрати вниманіе на мудрое намѣреніе Божественной премудрости. Какъ выше упомянувши о нечестивыхъ и злыхъ, она указывала на грѣшащихъ не по невѣдѣнію или нѣкоему опрометчивому увлеченію зломъ, а по своему изволенію и уклоненію отъ добра, упражняющихся всѣмъ сердцемъ и всѣми, что называется, руками подвизающихся въ дѣланіи зла, которыхъ не сочла достойнымъ ни вразумлять, ни трудиться напрасно, напѣвая предъ глухими или говоря на ухо мертвому, по поговоркѣ *) внѣшнихъ писателей. Какъ и предъидущая рѣчь указывала, такъ и здѣсь премудрость называетъ мудрымъ

*) Пословица „пѣть глухому“ встрѣчается у Есхила трагика (Семь подъ Ѳивами) и Ливанія ритора; а „бесѣдовать на ухо съ мертвымъ“—у Ливанія же и Плутарха.

κήρυγμα καὶ τὴν κλῆσιν βλέψαντα τῆς σοφίας καὶ οἷον ἐν χρῷ τῆς θύρας καὶ τῶν οὐδῶν γεγονότα τοῦ οἴκου καὶ πρὸς τὴν εἴσοδον ἤδη σπεύδοντα. Καὶ ἁπλῶς εἰπεῖν, τοὺς ὑπ' αὐτῆς ἐκείνης ἐπὶ τὰ δεῖπνα καὶ τὴν τράπεζαν ἤδη κληθέντας, τόν τε φρενῶν ἐνδεᾶ φημι καὶ τὸν ἄφρονα σὺν ἐκείνῳ, νῦν αὐτοὺς ἐκείνους σοφοὺς οἶμαι καλεῖν αὐτὴν καὶ δικαίους· τὸν μὲν, διὰ τὸ καὶ μέρη τινὰ τῆς σοφίας ἤδη κατορθωκέναι, τὸν δὲ, διὰ τὸ τῆς ὁρμῆς ἐπαινετὸν καὶ σπουδαῖον καὶ τὸ πρὸς τὴν σοφίαν ἐκκλῖναι, ὅπερ ἀρχὴ δηλαδὴ δικαιοσύνης τε καὶ σοφίας. Ἐπεὶ γὰρ ἀπὸ τῶν ἐλαττωμάτων αὐτοὺς ἐκάλεσε πρότερον, φρενῶν ἐνδεεῖς προσειποῦσα καὶ ἄφρονας, νῦν ἀπὸ τῶν κατορθωμάτων λαμπρότερον ὀνομάζει, δικαίους τὲ καὶ σοφοὺς καλοῦσα διά γε τὰ προρρηθέντα. Ποιεῖ μέντοι τοῦτο σοφώτατά γε καὶ κάλλιστα καὶ ἀξίως, ὡς ἂν εἴποι τις, ἑαυτῆς ἡ θεία σοφία· ὁμοῦ μὲν καὶ τὸ προσὸν ἀγαθὸν ἐκείνοις διὰ τῶν ἐνδόξων προσηγοριῶν τουτωνὶ τιμῶσα, ὁμοῦ τε καὶ προθυμίας καὶ σπουδῆς ἐμπιπλᾶσα πρὸς τοὺς ἐξῆς ἀγῶνας. ἅτε καὶ αὐτοὺς χορευτὰς ἤδη γεγονότας ἐκείνης καὶ τοῦ καταλόγου τῶν σοφῶν καὶ τῶν δικαίων ἀξιωθέντας. Οὕτω καὶ Ἡσαΐας ὁ πάνυ, τὴν ὕστερον ἐκλάμψασαν ἐν Χριστῷ τοῦ θείου βαπτίσματος χάριν προγράφων καὶ λαμπρόν τε καὶ διάτορον ἐκβοῶν, ἀντλήσατε ὕδωρ ἐκ τῶν πηγῶν τοῦ σωτηρίου, καὶ ὅσοι μὴ ἔχετέ φησιν ἀργύριον, βαδίσαντες ἀγοράσατε, μόνης τῆς πρὸς τἀγαθὸν ὁρμῆς ὤνιον ἐκεῖνα δίδοὺς, καὶ δικαι-

и праведнымъ человѣка, который стремится къ справедливости и мудрости, какимъ бы то ни было образомъ восхваляетъ добродѣтель и старается быть участникомъ ея, хотя и хромаетъ и не имѣетъ силы относительно болѣе совершенныхъ подвиговъ, который еще не посвященъ въ неизреченныя тайны ея, можно сказать, и еще не безукоризненно вступаетъ на поприще добродѣтели и не принялся за дѣла ея нисколько, но сначала едва только уклонился отъ зла и обратился къ проповѣди и призыванію мудрости, сталъ какъ бы вблизи двери и порога дома и готовится уже войти. И просто говоря, по моему мнѣнію она называетъ мудрыми и праведными самыхъ тѣхъ позванныхъ уже ею самою на пиръ и трапезу, то есть скудоумнаго, и съ нимъ вмѣстѣ неразумнаго: одного потому, что уже обладалъ нѣкоторыми долями мудрости, другого за похвальное и усердное стремленіе и направленіе къ мудрости, что уже есть начало праведности и мудрости. Ибо какъ прежде называла ихъ по недостаткамъ, обращаясь къ скудоумнымъ и неразумнымъ, теперь именуетъ славнѣе по благонастроенію, называя праведными и мудрыми по сказанному уже. И мудрость Божественная дѣлаетъ это премудро и превосходно и достойно себя, если можно такъ

ὧν τὸν μήπω μὲν ἐσπουδακότα, μηδ' εἰργασμένον τί τὸ παράπαν, ὁρμὴν δ' ἐπιδεδειγμένον ἀγαθὴν μόνην, καὶ πίστει καὶ παντὶ τῷ τῆς ψυχῆς βουλομένῳ πρὸς τὴν τῆς χάριτος βαδίσαντα κλῆσιν, ὥσπερ δὴ κἀνταῦθα συνέβη. Οὕτω καὶ οἱ περὶ τὴν ἑνδεκάτην ὥραν εἰσελθόντες εἰς τὸν δεσποτικὸν ἀμπελῶνα τῆς ἐκεῖθεν δωρεᾶς τε καὶ τῶν μισθῶν ἠξιώθησαν ὑπὲρ τὴν ἀξίαν πολλῷ τῷ μέσῳ, οὐδὲν μὲν, ἢ βραχύ τι πάνυ καὶ μικρὸν εἰργασμένοι, διὰ δὲ τὴν σπουδὴν καὶ τὸ περὶ τοὺς μισθοὺς ἀπολυπραγμόνητον ἐπαινεθέντες παρὰ τοῦ δεσπότου καὶ τιμηθέντες· ὥσπερ δὴ καὶ πόρναι καὶ τελῶναι τῶν μεγίστων ἀξιωθέντες ἀκονιτὶ παρὰ τοῦ δεσπότου, διὰ μόνην τὴν ἐπὶ τὰ κάλλιστα τῆς ψυχῆς ὁρμήν τε καὶ προθυμίαν κάλλιστα τιμηθέντες τε καὶ προτιμηθέντες.

выразиться, вмѣстѣ и присущее имъ благо высоко цѣнія славными сими наименованіями, и преисполняя ихъ охотою и усердіемъ къ послѣдующимъ подвигамъ, такъ какъ и сами они уже стали участниками ея и удостоены внесенія въ списокъ мужей мудрыхъ и праведныхъ. Такъ и Исаія славный, объявляя о имѣющей въпослѣдствіи возсіять благодати божественнаго крещенія во Христѣ, и ясно и во всеуслышаніе провозглашая *почерпайте воду изъ источниковъ* (Ис. XII, 3), говоритъ: *и у кого нѣтъ сребра, идите и покупайте* (LV, 1) давая въ уплату только одно стремленіе къ добру, и оправдывая еще не оказавшаго усердія и не сдѣлавшаго ничего совсѣмъ, но обнаружившаго только благое стремленіе, вѣрою и всѣмъ хотѣніемъ души шествующаго на призывъ благодати, какъ и здѣсь произошло. Такъ и пришедшіе около одиннадцатого часа въ хозяйскій виноградникъ удостоены были и подарка и наемной платы гораздо свыше заслуги, нисколько, или весьма непродолжительно и немного поработавши, но за усердіе и нехлопотливость о наемной платѣ одобренные хозяиномъ и награжденные (Мѳ. XX, 1—9). Подобно и блудницы и мытари безъ особеннаго труда съ своей стороны удостоились отъ Владыки величайшей похвалы (Мѳ. XXI, 31. 32),

23. Ἐπεὶ δὲ καὶ σοφοὶ καὶ δίκαιοι, καίτοιγε τοιοῦτοι καὶ δοκοῦντες καὶ ὄντες, περὶ τἀγαθὸν ἔσθ' ὅτε διαμαρτάνουσιν οἷάπερ ἄνθρωποι πλημμελοῦντες, τούτους ἔλεγχέ φησιν ἡ σοφία, καὶ ἀγαπήσουσί σε· τούτοις γνώριζε καὶ τὸ πταῖσμα καὶ τὴν ἀντιθεραπείαν, καὶ προσθήσουσι τοῦ δέχεσθαι μάλα προθύμως. Οὕτω τὸν προφήτην καὶ βασιλέα Δαυὶδ ὁ πένης καὶ ἰδιώτης ἁμαρτήσαντα κατὰ πρόσωπον διελέγξας, οὐ μόνον ὀργὴν καὶ μῖσος πρὸς ἑαυτὸν οὐκ ἐπεσπάσατο, ἀλλὰ καὶ διόρθωσιν αὐτίκα καὶ μετὰ πολλοῦ γε τοῦ περιόντος εἰς τὴν προτέραν ἐπανήγαγετάξιν. Τῷ μὲν γὰρ ἐλέγξαντι τοῦτον προφήτῃ τοῦ βασιλικοῦ κατελθὼν αὐτίκα θρόνου καὶ προσπεσών, ἡμάρτηκα τῷ Κυρίῳ μου ἔλεγε· πρὸς δὲ τὸν Θεὸν αὖθις, ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ ὅσα ἑξῆς. Εἶτα παρακατιών, ἀπόδος μοι φησὶ τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με, ὅπως διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

24. Ὁρᾷς, ὅπως καὶ τοὺς ἐλέγχους ὁ σοφὸς ἡδέως ἐδέξατο, καὶ ἀφορμήν τινα παρὰ τοῦ Νάθαν δεξάμενος ἑαυτοῦ σοφώτερος ἀνεφάνη; Ὁ γὰρ πρότερον λέγων, οὐ μὴ σαλευθῶ εἰς

за одно только стремленіе души и усердіе къ лучшему уваженные и предпочтенные.

23. Поелику же и мудрые и правдивые, хотя такими и кажутся и оказываются, иногда погрѣшаютъ относительно добра, ошибаясь какъ люди, то, говоритъ мудрость, ты обличай ихъ, и они полюбятъ тебя; указывай имъ преткновеніе ихъ и средство противъ него, и они весьма охотно приложатъ принимать вразумленіе. Такъ бѣднякъ и простецъ, въ лице обличивши пророка и царя Давида въ грѣхѣ, не только не навлекъ на себя гнѣва и ненависти, но и побудилъ къ исправленію тотъчасъ и съ великимъ превосходствомъ возвратилъ въ прежнее положеніе. Ибо сойдя съ царскаго престола и павши предъ обличившимъ его пророкомъ, сказалъ: *согрѣшилъ я предъ Господомъ* (2 Цар. XII, 13) моимъ; а Богу опять: *помилуй меня, Боже, по великой милости Твоей*, и дальнѣйшее. Затѣмъ продолжая говоритъ: *возврати мнѣ радость спасенія Твоего, и Духомъ владычественнымъ утверди меня*, чтобы мнѣ *научить беззаконниковъ путямъ Твоимъ, и нечестивые обратятся къ Тебѣ* (Псал. 50).

24. Видишь, какъ этотъ мудрый мужъ и обличенія принялъ съ удовольствіемъ, и принявши отъ Наѳана нѣкоторый поводъ, явился мудрѣе себя самого? Ибо

τὸν αἰῶνα, μετὰ τὸ πτῶμα καὶ τὸν ἔλεγχον ἀγαθόν μοι φησὶν, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. Οὕτω καὶ Πέτρος ὁμέγας ὕστερον καταπεσὼν εἰς τὸν τῆς ἀρνήσεως ὄλισθον, ὄφει μόνῃ σωφρονίζεται τοῦ Δεσπότου καὶ εἰς ἀνάμνησιν ἔρχεται τῶν ὑποσχέσεων τῶν ἰδίων καὶ κλαίει πικρῶς, καὶ πολλῷ γε σοφώτερος αὐτὸς ἑαυτοῦ καὶ συμπαθέστερος περὶ τοὺς πταίοντας χρηματίζει, παιδευόμενος ὑπείκειν κατὰ πάντα καὶ πείθεσθαι τῷ Δεσπότῃ, καὶ μηκέτι θαρρεῖν ἑαυτῷ, μηδὲ τοῖς ἐκεῖθεν χρησμοῖς προπετῶς ἀντιλέγειν καὶ λέγειν· εἰ πάντες ἀρνήσονταί σε, ἀλλ' οὐκ ἐγώ.

25. Οὕτως ἡ τοῦ Θεοῦ σοφία καὶ τοὺς τοῦ Λόγου κήρυκας καὶ διδασκάλους διδάξασα, καὶ ὅπως καὶ πρὸς τίνας τῇ διδασκαλίᾳ χρηστέον σοφῶς ὑποδείξασα ὀλίγων, πρὸς τοὺς μαθητὰς τρέπει τὸν λόγον, καὶ αὖθις ὥσπερ ἐπαναλαμβάνουσα τὰ προειρημένα· ἐπειδὴ καὶ γὰρ ὁ τοῦ Θεοῦ φόβος πίστεως εἰλικρινοῦς γέννημα πεφυκὼς καὶ σοφίας ἀρχὴ καὶ ῥίζα τις οἰονεὶ καὶ προοίμιον τοῖς χρωμένοις ξυμπάντων ὁμοῦ γίγνεται τῶν καλλίστων· ἀρχὴ γὰρ σοφίας φόβος Κυρίου φησὶν ὁ θεῖος Δαυίδ· καὶ πάλιν· δεῦτε τέκνα, ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Ἔκκλινον ἀπὸ κακοῦ

говорившій прежде: *не поколеблюсь вовекъ* (Пс. XXIX, 7), послѣ паденія и обличенія говоритъ: *благо мнѣ, что Ты смирилъ меня, чтобы научиться мнѣ оправданіямъ* (уставамъ) *Твоимъ* (Псал. CXVIII, 7). Такъ и великій Петръ, впавши въ соблазнъ отреченія, въпослѣдствіи однимъ воззрѣніемъ Владыки вразумляется и припоминаетъ собственныя обѣщанія, и плачетъ горько (Мѳ. XXVI, 75), и дѣлается гораздо мудрѣе себя и сострадательнѣе къ падающимъ, научаясь повиноваться во всемъ и довѣряться Владыкѣ, и не надѣяться на себя, ни противорѣчить необдуманно реченіямъ Его и говорить: *если и всѣ отрекутся отъ Тебя, но не я* (Мрк. XIV, 29).

25. Такъ мудрость Божія научивши проповѣдниковъ Слова и учителей, и мудро показавши немногими выраженіями, какъ и къ кому надлежитъ обращаться съ ученіемъ, обращаетъ слово къ ученикамъ, и снова какъ бы повторяетъ прежде сказанное. И такъ какъ страхъ Божій есть порожденіе нелицемѣрной вѣры, начало и корень нѣкій мудрости, какъ бы предвкушеніе всѣхъ благъ имѣющими его (ибо *начало премудрости — страхъ Господень*, говоритъ вдохновенный Давидъ: Пс. IX, 10. И еще: *прійдите дѣти, послушайте меня, страху Господню*

καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν. Καὶ αὐτὸς δ' οὗτος ὁ σοφὸς Σολομὼν αὖθις, τῷ φόβῳ Κυρίου φησὶν ἐκκλίνει πᾶς ἀπὸ κακοῦ· πρὸς τὴν ἀρχὴν αὐτοὺς πάλιν ἀνάγει τοῦ λόγου, σαφηνίζουσα καθαπερεὶ τὰ προειρημένα καὶ προσαναπληροῦσα τὸ λεῖπον, καὶ φησιν· ἀρχὴ σοφίας φόβος Κυρίου. Εἰποῦσα πρότερον, ὅς ἐστιν ἄφρων ἐκκλινάτω πρός με, τὴν ἀπὸ τοῦ φόβου διόρθωσιν ἐκείνοις ἠνίξατο. Τῷ γὰρ φόβῳ Κυρίου φησὶν ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. Ὁ γὰρ ἐκκλίνειν μέλλων ἀπὸ κακοῦ, πίστει δηλονότι τῇ πρὸς τὸ ἀγαθὸν προληφθείς, ἐπὶ τὸν φόβον πρῶτον ἔρχεται τῶν κολάσεων, τῶν ἀποκειμένων τοῖς πονηροῖς, καὶ οὕτω τῷ φόβῳ τούτῳ καθαπερεί τινι κέντρῳ νυγείς, τέως ἐκκλίνει πρῶτον τοῦ κακοῦ. Ὅθεν οὐδ' ἡ σοφία περὶ πίστεως οὐδοπωστιοῦν περιεργασαμένη τοὺς τῆς ἀφροσύνης ἐκκλίναντας φαίνεται, ὡς αὐτοῦ τούτου τῆς ἀναχωρήσεώς φημι τῆς ἐκ κακοῦ τὴν πίστιν ἔχοντος ἡγουμένην αὐτοῦ· ἧς δηλαδὴ γέννημα καὶ ὁ τοῦ Θεοῦ φόβος ἐστί, καθὰ δὴ καὶ φθάσαντες εἴπομεν.

26. Ἐπεὶ δὲ καὶ τὸ τῆς πράξεως ἄρξασθαι τῆς ἀρετῆς καὶ τοῖς ἀγα-

науку васъ. Хочетъ ли человѣкъ жить, желаетъ ли благоденствовать? Уклоняйся отъ зла и дѣлай добро; ищи мира и гоняйся за нимъ. Пс. XXXIII, 12—15. И самъ этотъ мудрый Соломонъ говоритъ опять: *страхомъ Господнимъ всякій уклоняется отъ зла.* Прит. XV, 27): то мудрость опять возвращаетъ ихъ къ началу рѣчи, какъ бы уясняя прежде сказанное и восполняя недостающее, и говоритъ: *начало мудрости страхъ Господень* (Притч. IX, 10). Сказавши прежде: *кто неразуменъ, пусть обратится ко мнѣ* (ст. 4), указала теперь имъ на исправленіе, происходящее отъ страха. Потому что *страхомъ Господнимъ*, говоритъ, *всякій уклоняется отъ зла.* Ибо намѣревающійся уклониться отъ зла, конечно вѣрою предрасположенный къ добру, прежде всего объемлется страхомъ наказаній, назначенныхъ лукавнующимъ, и страхомъ симъ какъ нѣкимъ рожномъ подстрекаемый, онъ сперва уклоняется отъ зла. Потому и мудрость, нисколько не упомянувши о вѣрѣ, говоритъ объ уклонившихся отъ неразумія, давая знать, что по этому самому, то есть уклоненію отъ зла, онъ имѣетъ вѣру, которой порожденіе и есть страхъ Божій, какъ мы сказали выше.

26. Поелику и начать добрую дѣятельность и приняться за хо-

θοῖς ἐπιβαλεῖν οἱονεὶ χεῖρα μέρος ἐστὶ τοῦ φόβου τοῦ Θεοῦ· εἰς γὰρ ταῦτα τὰ δύο τοῦτον ἤδη φθάσας διεῖλεν ὁ μέγας Δαυὶδ, ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθὸν εἰρηκώς· καὶ πάλιν ἡ παροιμία ἀρχὴ φησι σοφίας κτῆσαι σοφίαν, αὐτὸν τὸν τοῦ Θεοῦ φόβον σοφίας ἀρχὴν εἶναι λέγουσα δηλαδὴ, καὶ τοῦ μὲν ἑνὸς τῆς διαιρέσεως μέρους τῆς ἀπὸ τοῦ φόβου κατιούσης ἡ σοφία πρότερον ἥψατο, τῆς ἐκκλίσεως ὡς ἂν εἴποι τις τῆς ἀπὸ τοῦ κακοῦ· ὃς γάρ φησιν ἐστὶν ἄφρων, ἐκκλινάτω πρός με· θατέρῳ δ' οὐκ ἐπεξῆλθε τρανῶς, οὐδὲ γὰρ εἶπε καὶ ποιησάτω ἀγαθόν· νῦν ὥσπερ εἰς ἀρχὴν αὖθις ἀνιοῦσα καὶ τὰ μέρη τοῦ φόβου συντεθεῖσα καὶ συνάγουσα πάλιν εἰς ἕν, ἐντελέστερόν τε καὶ τρανότερον τὴν ἀρχὴν ὑποδείκνυσι, πάλιν ἐκείνοις ἀρχὴ σοφίας λέγουσα φόβος Κυρίου. Ὅπερ ἐστὶν ὡς εἴρηται τὸ ἐκκλῖναι μὲν τοῦ κακοῦ, ἀντιλαβέσθαι δὲ καὶ σπουδάσαι γνησίως περὶ τὸ ἀγαθόν.

27. Εἶτα καὶ τοῖς ὑψηλοτέροις τούτους τὲ κἀκείνους προσάγουσα κατ' ὀλίγον καὶ τίνι τρόπῳ τὴν τῶν ἐντολῶν μετιτέον ὁδὸν, καὶ τίσι σπουδασταῖς τε καὶ συνεργοῖς πρὸς ἐκείνην χρηστέον διδάσκουσα, ἵνα καὶ πρὸς τὴν εἰλικρινῆ τοῦ Θεοῦ γνῶσιν καὶ τὴν ὑψηλοτάτην θεωρίαν ῥᾷστα δυνηθῶσιν ἐλθεῖν, τῆς ἁμαρτίας καὶ τῶν σκοτεινῶν ἀπαλλαγέντες παθῶν, κἀκεῖνα προστίθησι, τῶν εἰρημένων ἀναμιμνήσκουσα καὶ τοῖς προτέροις ἀκριβέστερον αὖθις ἐπεξιοῦσα. Ἐπειδὴ

рошія дѣла зависитъ отъ страха Божія; ибо на эти двѣ части еще выше раздѣлилъ его Давидъ, сказавши: *уклоняйся отъ зла, и дѣлай добро;* и притча опять говоритъ: *начало премудрости пріобрѣтать мудрость* (Прит. IV, 7), ясно сказавши, что самый *страхъ Божій есть начало мудрости* (I, 7); и одной части сего дѣленія, происходящаго отъ страха, мудрость касалась уже прежде, именно-уклоненія отъ зла, сказавши: *кто неразуменъ, обратись ко мнѣ!* а второй не выразила ясно, такъ какъ не сказала: *и дѣлай добро!*, то нынѣ, какъ бы къ началу снова восходя и части страха совокупивши и сведши опять воедино, полнѣе и яснѣе выставляетъ на видъ начало, опять говоря имъ: *начало мудрости страхъ Господень* (Прит. IX, 10). Это значитъ, какъ сказано: „уклонись отъ зла, а берись за добро и усердно занимайся имъ“,

27. Затѣмъ, постепенно приводя сихъ и тѣхъ къ возвышеннѣйшимъ предметамъ, и поучая, какимъ образомъ надлежитъ проходить путь заповѣдей, и какихъ имѣть доброхотовъ и помощниковъ на томъ пути, чтобы удобнѣе достигнуть чистаго познанія Бога и высшаго созерцанія, отрѣшившись отъ омрачающихъ страстей, прилагаетъ и это, напоминая о сказанномъ и точнѣе опять разъясняя предыдущее. Ибо

γὰρ πρὸ βραχέος τὴν τῶν θείων νόμων ἄσκησιν αὐτοὺς ἐκπαιδεύουσα καὶ πρὸς τὰ ἑαυτῆς ἐπειγομένη χειραγωγεῖν ὄργια, ζητήσετε φρόνησιν ἔλεγε, καὶ κατορθώσατε σύνεσιν ἐν γνώσει, ἵνα μὴ τῶν παρὰ τῆς σοφίας λεχθέντων ἁπλῶς οὕτωσὶν ἐκεῖνοι καὶ ἀβασανίστως ἀκούσαντες περὶ τὰ κράτιστα τὴν ζημίαν τὲ καὶ τὸν κίνδυνον ὑποστῶσι, δι' ἑαυτῶν αὐτοὶ γνῶσιν τὲ καὶ σύνεσιν ὥς τι τῶν ἀνθρωπίνων τὲ καὶ ῥᾳστῶν οἰηθέντες δύνασθαι κατορθοῦν, κἀντεῦθεν ταῖς παραπεπηγυίαις ταῖς ἀρεταῖς ταύταις κακίαις, τῇ τε ψευδωνύμῳ γνώσει φρενὶ καὶ τῇ ἀφροσύνῃ, περιπέσωσιν ἐξ ἀγνοίας, τῇ τῶν ἁγίων βουλῇ διά γε τῆς βελτίστης ταπεινοφροσύνης, ὡσανεί τινι χειραγωγῷ, καλῶς αὐτοὺς ἐγχειρίζει. Ἀρχὴ γάρ φησι σοφίας φόβος Κυρίου, καὶ βουλὴ ἁγίων σύνεσις.

28. Καὶ ὅρα μοι τὸ σοφὸν ὁμοῦ καὶ ὑπερφυὲς τῆς ὑπερφυοῦς καὶ σοφῆς διδασκάλου. Οὐ γὰρ ζητήσατε καὶ κατορθώσατε σύνεσιν ἔφη διὰ τῆς τῶν ἁγίων βουλῆς, ἀλλὰ πῶς; Βουλὴ φησιν ἁγίων σύνεσις. Οὐ διὰ τῆς βουλῆς φησι τὴν σύνεσίν ἐστι κατορθοῦν ταύτην, ὡς ἄλλο δι' ἄλλο τυχόν, ὅπερ ἂν ἴσως τὶς ὑπολάβῃ· ἀλλ' αὐτή γε ἐκείνη ἡ τῶν ἁγίων βουλή, αὐτή ἐστιν ἡ μεγάλη σύνεσις ἄντικρυς, ἡ προμνήστρια ὡς ἄν τις εἴπῃ καὶ ἀδελφή, καὶ σύζυγος ἐμοῦ τῆς σοφίας, ἣν ἐν γνώσει κατορθουμένην τοὺς ἑπομένους εἶπον ἐμβιβάζειν εἰς τὰ

послику предъ симъ научая ихъ упражняться въ законахъ божественныхъ и спѣша руководствомъ ихъ къ своимъ тайнамъ, премудрость сказала: *взыщите разума и усовершайте смысленность вѣдѣніемъ*, то, чтобы они, принявъ такъ просто и безъ изслѣдованія сказанное мудростію, не подвергли себя урону и опасности, вообразивши, что сами собою смогутъ выправить себѣ знаніе и понятливость, какъ нѣчто человѣческое и легкое, и отсюда по невѣжеству не подклонились прицѣпляющимся къ симъ добродѣтелямъ порокамъ, лжеименному знанію и неразумію, прекрасно ввѣряетъ совѣту святыхъ чрезъ превосходнѣйшее смиренномудріе, какъ бы нѣкоему руководителю. Ибо *начало мудрости*, говоритъ, *страхъ Господень, и совѣтъ святыхъ—разумѣніе.*

28. И замѣчай мудрость и вмѣстѣ превосходство сверхъестественной мудрой учительницы. Не сказала она: „взыщите и усовершайте разумѣніе посредствомъ совѣта святыхъ“, а какимъ образомъ? Совѣтъ святыхъ разумѣніе. Говоритъ: не чрезъ совѣтъ святыхъ можно достигнуть разумѣнія, какъ одного чрезъ другое чтонибудь, что можетъ быть ктолибо предположитъ; но самый тотъ совѣтъ святыхъ есть прямо само великое разумѣніе, такъ сказать—онъ есть союзникъ,

τῶν ἐμῶν ἀπορρήτων ἄδυτα. Σωτηρία γὰρ ὑπάρχει ἐν πολλῇ βουλῇ φησιν ὁ αὐτὸς αὖθις σοφός· οἷς δὲ μὴ ὑπάρχει κυβέρνησις, ἡ ἐξ αὐτῆς φημι τῆς μεγάλης βουλῆς· πολλὴν γὰρ τὴν μεγάλην ὑπολιπτέον ἐνταῦθα· πίπτουσι ὥσπερ φύλλα. Καὶ ὁ μέγας Δαυὶδ ἐν βουλῇ φησιν εὐθέων καὶ συναγωγῇ μεγάλα τὰ ἔργα Κυρίου. Καὶ αὖθις ἐπερώτησόν φησι τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι. Τοῦτο καὶ πράγμασιν αὐτοῖς ὁ Θεὸς παραδείκνυς, τὸν θαυμαστὸν ἐκεῖνον ἄνδρα, Σαμουήλ φημι, τὸν τὰ ἔμπροσθεν βλέπειν ἠξιώμενον, τῷ ἱερεῖ τε καὶ πρεσβύτῃ ὑποτάττει Ἠλεί, καὶ ὑπ' αὐτοῦ τούτου παιδαγωγεῖσθαι καὶ τυποῦσθαι πρὸς τὴν ἀποκάλυψιν καὶ τὴν θείαν ἐκείνην ὁμιλίαν ποιεῖ, ὃν αὐτὸς ἐκεῖνος ὁπόθεν δὴ ἑαυτοῦ τῆς οἰκείας φωνῆς τε καὶ τῶν μυστηρίων φθάσας ἔκρινεν ἄξιον.

братъ и сопутникъ для меня, мудрости, и слѣдующихъ по нему, направляемому вѣдѣніемъ, я ввожу въ сокровенныя свои тайны. Ибо *спасеніе*, говоритъ снова тотъ же премудрый, *возможно при многомъ совѣтѣ, а кому недостаетъ управленія*, то есть отъ онаго *великаго совѣта*, (а великій тутъ значитъ тотъ многій, изъ многихъ лицъ состоящій), *тѣ падаютъ какъ листья* (Прит. XI, 14). И великій Давидъ говоритъ: *въ совѣтѣ праведныхъ и въ собраніи велики дѣла Господни* *). И еще говоритъ (Писаніе): *спроси отца твоего, и онъ возвѣститъ тебѣ, старцевъ твоихъ, и они скажутъ тебѣ* (Вт. XXXII, 7). Это и самыми дѣлами представляя, Богъ чуднаго онаго мужа, Самуила, удостоеннаго видѣть что впредь случится, подчиняетъ священнику и старцу Илію и устрояетъ такъ, что отъ того же Илія получаетъ наставленіе и подготовленіе къ откровенію и божественному оному собесѣдованію (1 Цар. III, 8. 9) тотъ, котораго самъ Онъ по Своей волѣ заранѣе призналъ достойнымъ слышать Его собственный голосъ и тайны.

*) Пс. CX, 1. Зигабенъ: „въ совѣтѣ, говоритъ, и собраніи правомыслящихъ людей велики всѣ дѣла Господни“ и проч. Златоустъ: „дѣла Господни сами по себѣ велики, но не представляются велики, когда не имѣютъ праведнаго судіи о нихъ“.

29. Ταύτην τὴν τῶν ἁγίων βουλήν, τὴν ἐν τῇ θείᾳ γνώσει κατορθουμένην σύνεσιν δηλαδή, διὰ πολλῶν μέν τινων καὶ μεγάλων ἐξύμνησε καὶ ἡ παλαιὰ πᾶσα Γραφή· τετιμήκασι δὲ καθ' ὑπερβολὴν οἱ τῆς νέας διαθήκης ἀγωνισταί πατέρες τέ φημι καὶ διδάσκαλοι καὶ τῆς ἐκκλησίας πᾶν ὅτι κράτιστόν τε καὶ ὑψηλόν. Ψυχὴν γὰρ ὥσπερ ἐνόμισαν τῶν θείων εἶναι ταύτην πραγμάτων καὶ θεῖον τι χρῆμα καὶ ἀπόῤῥητον πρὸς ἀνθρώπους ἄνωθεν κατιόν, ὡς μηδὲ ζῆν εἶναι τὸν σπουδαῖον τὴν πνευματικὴν ταύτην ζωὴν ἐκείνης χωρίς. Καὶ εἰκότως. Τῆς γὰρ ταπεινώσεως τοῦ Χριστοῦ σύμβολον ἐναργὲς ἐκείνη καὶ γέννημα γνήσιον οἱονεί, ἧς ἄνευ τῶν χρηστῶν τι κατορθῶσαι τῶν πάντων οὐδέσιν ἐξεγένετό φασιν οὗτοι καὶ ὁπηοῦν. Ταῦτ' ἴσασιν οἱ πεπειραμένοι τῶν ἐκείνης ὑποθέσεων ἑκατέρωθεν· ἔκ τε τοῦ κατὰ καιρὸν χρῆσασθαί φημι τοῖς φαρμάκοις ἐκείνης πρὸς ἰατρείαν τοῦ πάσχοντος τῆς ψυχῆς, ἔκ τε τοῦ καταφρονῆσαι τῶν ἐκεῖθεν ἱερῶν ἐπῳδῶν αὖθις καὶ σωτηρίων. Ὅθεν δὴ καὶ κακῶς αὖθις ἐξ ἐφαμίλλου φεῦ ἀπηλλάχασι. Τοὺς γὰρ ἀγνοοῦντας ἐργῶδες ἀληθῶς διδάξαι ταῦτα καὶ καλῶς ταῖς ἐκείνων ἐντυπῶσαι ψυχαῖς. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν.

29. Этотъ совѣтъ святыхъ, то есть смысленность, направленную вѣдѣніемъ предметовъ божественныхъ, и все ветхозавѣтное писаніе восхваляетъ часто и торжественно (наприм. Пс. XCI, CXVIII, Ис. XXXII, 8), а съ избыткомъ превознесли его подвижники Новаго Завѣта, разумѣю отцевъ и учителей, и всѣхъ прославленныхъ и отличенныхъ Церковію. Потому что они считали его какъ бы душею дѣлъ богоугодныхъ, божественнымъ нѣкіимъ и неизреченнымъ дарованіемъ, сходящимъ свыше къ людямъ (Іак. I, 17), такъ что ревнующему о духовной сей жизни нельзя безъ него и жить. И справедливо. Потому что онъ есть очевидный знакъ смиренія христіанскаго и подлинное порожденіе его, и безъ него, говорятъ они, никому и никакъ невозможно имѣть успѣхъ въ какомъ нибудь полезномъ дѣлѣ *). Это испы-

*) Маркъ подвижникъ: „паче всего надлежитъ пещись о вѣдѣніи и разумѣ тому, кто хочетъ взять крестъ и послѣдовать Христу, съ непрестаннымъ испытаніемъ своихъ помысловъ, многимъ попеченіемъ о спасеніи и великою приверженностію къ Богу, при вопрошеніи единодушныхъ и единомысленныхъ рабовъ Божіихъ, тѣмъ же подвигомъ подвизающихся, чтобы не зная, куда и какъ направлять шествіе, не идти во тьмѣ безъ свѣтлаго свѣтильника. Бо самочинникъ, безъ Евангельскаго вѣдѣнія и руководства шествующій, часто претыкается и впадаетъ во многіе рвы и сѣти лукаваго, часто блуждаетъ и подвергается великимъ бѣдамъ, и незнаетъ, куда наконецъ прійдетъ.

30. Ἀρχὴ φησι σοφίας φόβος Κυρίου, καὶ βουλὴ ἁγίων σύνεσις· τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς. Τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς. Σύνεσις μέν φησιν ἡ τῶν ἁγίων ἔστι βουλή· σύνεσις ἐκείνη. ἡ διὰ τῆς θείας καὶ ὑψηλῆς κατορθουμένη γνώσεως, ἧς οὐκ ἀποστατέον, ἀλλ' ὅλῃ καὶ ψυχῇ καὶ χειρὶ τοῖς σπουδαίοις ἀνθεκτέον ἐκείνης, εἰς τέλος φερούσης, ὅπερ εἶπον, πάντων τῶν ἀγαθῶν. Τοῦτο δ' ὑμῖν ἔσται φησὶ, καὶ οὕτω τῶν ἐκείνης ἀγαθῶν παιδευμάτων ἐν καταλήψει γενέσθαι δήπου δυνήσεσθε, καὶ τὰ τῶν ἁγίων βουλεύματα τὸ ἐνεργὸν ἀσφαλῶς παρ' ὑμῖν ἕξει, καὶ τῶν θείων καὶ ὑψηλῶν τοῦ Θεοῦ νόμων ἐν περιλήψει καὶ γνώσει γενήσεσθε καθαρῶς, πάσχοντες καὶ γινώσκοντες μᾶλλον ἐκεῖνα, ἢ ἀκούοντές τε καὶ λέγοντες. Σύνεσις γὰρ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτὴν, οὐ τοῖς λέγουσιν, εἰ μετὰ διανοίας ἀγαθῆς καὶ καρδίας εὐθείας τινὸς καὶ ἁπλῆς καὶ τὸ κήρυγμα τοῦ λόγου καὶ τὴν τῶν ἁγίων βουλὴν ὑποδέχεσθαι

тавшіе предметы его знаютъ съ двухъ сторонъ: изъ того, что во время пользовались лекарствами его для врачеванія души страждущаго, и изъ того опять, что пренебрегали священными его и спасительными успокоительными средствами, соотвѣтственно чему опять и кончили худо. Потому что невѣждъ воистину трудно научать сему и хорошо впечатлѣвать въ ихъ души. Но возвратимся на предположенное.

30. *Начало премудрости*, говоритъ, *страхъ Господень, и совѣтъ святыхъ—разумъ. Потому что разумѣніе закона свойственно доброй мысли. И такимъ образомъ проживешь много времени, и прибавится тебѣ годовъ жизни.* Совѣтъ святыхъ, говоритъ, есть разумѣніе, то разумѣніе, которое усовершается знаніемъ божественныхъ и высокихъ предметовъ, отъ котораго не должно уклоняться подвизающимся, но всею душею и всею силою держаться его, такъ какъ оно ведетъ къ достиженію всѣхъ благъ, по сказанному мною. И это сбудется съ вами, и вы будете въ состояніи понять благія наставленія его, и

Многіе проходили большіе подвиги самоумерщвленія, по самочинію, неразсудительность и то, что не считали нужнымъ обращаться за спасительнымъ совѣтомъ къ ближнему, сдѣлали труды ихъ небогоприятными и тщетными" (Посланіе къ монаху Николаю). Добротолюбіе, томъ первый, стр. 416.

βούλοισθε. Τὸ γὰρ ἀγαθὸν οὐκ ἂν ἐν πονηρίᾳ ποτὲ γένοιτο· οὐδὲ γὰρ ἐν τῷ σκότει τὸ φῶς· ποία γάρ φησι κοινωνία φωτὶ πρὸς σκότος, ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαλ; Ἀλλ' ὥσπερ ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ προφέρει τὸ ἀγαθὸν, καὶ οὐδέποτε συλλέγουσιν ἀπὸ βάτου σταφυλὴν, οὐδὲ ἀπὸ τριβόλων σῦκα, κατὰ τὸν λόγον δηλονότι τοῦ ἀγαθοῦ, οὕτω δὴ καὶ ταῖς ἀγαθαῖς καὶ εὐθέσι καρδίαις καταλλήλως καὶ φυσικῶς, ὡς ἂν εἴποι τις, παρὰ τῆς χορηγοῦ προνοίας δωρεῖται τὸ ἀγαθόν. Ἀγάθυνον γάρ φησιν ὁ προφήτης Δαυὶδ, Κύριε τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ. Καὶ πάλιν· Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. Καὶ γενεὰ φησιν εὐθέων εὐλογηθήσεται. Καὶ ἡ σοφὴ αὕτη παροιμία ὃς πορεύεταί φησιν ἁπλῶς, πορεύεται πεποιθώς. Ἡ δ' ἐν τῷ Ἄσματι νύμφη, εὐθύτης ἠγάπησέ σε πρὸς τὸν μέγαν νυμφίον λέγουσα, τοῦτ' οἶμαι διδάσκειν ἡμᾶς ὅπου βούλεται, ὡς ἡ τῆς καρδίας ἁπλότης, ἣν καὶ εὐθύτητα καὶ ἀγαθότητα φασὶν, αὐτὴ ἐκείνη πάντως ἐστὶν ἡ τὸν σπουδαῖον ὡς μάλιστα πρὸς τὴν ἀγάπην τὲ καὶ τὴν ἕνωσιν φέρουσα τοῦ Θεοῦ. Διὸ καὶ ὁ θεῖος αὖθις τρανότερον ψάλλει Δαυὶδ· χρηστὸς καὶ εὐθὺς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ, ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.

совѣты святыхъ окажутъ постоянное дѣйствіе въ васъ, и вы чисто будете постигать и познавать святые и высокіе Законы Божіи, если больше будете исполнять и познавать ихъ, чѣмъ слышать и говорить о нихъ. Ибо *разумѣніе доброе у всѣхъ водящихся имъ* (Прит, I, 7), не говорящихъ,—если съ доброю мыслію и сердцемъ правымъ и простымъ захочете принять и проповѣдь слова и совѣтъ святыхъ. Потому что добру никогда не бывать въ лукавствѣ, и не во тьмѣ свѣтъ: *что общаго у свѣта со тьмою, или какое согласіе между Христомъ и Веліаромъ* (2 Кор. VI, 14. 15)? Но какъ *добрый человѣкъ изъ добраго сокровища выноситъ доброе* (Мѳ. XII, 35), и никогда *не собираютъ съ терновника виноградъ, или съ репейника смоквы* (Мѳ. VIII, 16), по выраженію благого (Іоан. X, 14), такъ и благимъ и правымъ сердцамъ соотвѣтственно и естественно, такъ сказать, даруется благо промысломъ Божіимъ. Ибо говоритъ пророкъ Давидъ: *благотвори, Господи, добрымъ и правымъ сердцемъ* (Пс. CXXIV, 4). И опять: *ходящихъ въ непорочности Господь не лишаетъ благъ* (Пс. LXXXIII, 12), и: *родъ правыхъ благословится* (Пс. CKI, 2). И сама эта мудрая книга Притчей говоритъ: *кто ходитъ непорочно, тотъ*

31. Τὸ γοῦν γνῶναί τινα Θεοῦ νόμον, ἡ διδάσκαλός φησι σοφία, καθὰ γνῶναι δεῖ τῇ βουλῇ τῶν ἁγίων καὶ τῇ γ' αὐτόθεν συνέσει τὴν ἰδίαν βουλὴν καὶ τὴν δοκοῦσαν ὑποτάξαντα σύνεσιν, ὡς μηκέτι μὲν τοῖς ἑαυτοῦ θελήμασι, τῇ δὲ βουλῇ καὶ τῇ συνέσει ζῆν ὁλοσχερῶς ἐκείνῃ τῇ θαυμαστῇ, κόσμῳ καὶ τοῖς τοῦ κόσμου σταυρωθέντα τε καὶ ἀποτεθνηκότα, διανοίας ἐστὶν ἀγαθῆς, καὶ τὸ σύμπαν εὐθείας τε καὶ ἁπλῆς, μηδὲν ἐν ἑαυτῇ σκολιὸν, μηδὲ στραγγαλιῶδες φερούσης μηδοτιοῦν. Εἰς γὰρ κακότεχνον ψυχὴν σοφία οὐκ εἰσελεύσεται, ἡ σοφία καὶ τοῦτο φησί. Καὶ ὁ ψαλμὸς αὖθις τοὺς ἐκκλίνοντάς φησιν εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. Καὶ οἱ πονηρευόμενοί φησιν ἐξολοθρευθήσονται· οἱ δὲ πραεῖς κληρονομή-

ходитъ безопасно (Прит, X, 9). И невѣста въ Пѣсни, говоря къ великому жениху: *правота возлюбила тебя* (Пѣсн. 1, 4), думаю хочетъ указать на тоже самое, именно, что непорочность сердца, которую называютъ и благостію, есть именно тотъ путь, который подвижника надежно ведетъ къ любви и единенію съ Богомъ. Посему и вдохновенный Давидъ ясно опять славословитъ: *благъ и правъ Господь; посему наставляетъ грѣшниковъ на путь, направляетъ кроткихъ къ правдѣ, и научаетъ кроткихъ путямъ Своимъ* (Пс. XXIV, 8. 9).

31. Итакъ знать кому нибудь законъ Божій, говоритъ учительница мудрость, — знать, какъ должно подчинившему свой совѣтъ и кажущійся смыслъ совѣту святыхъ и отъ него простекающему разумѣнію, распятому и умершему для міра и всего мірскаго (Гал. VI, 14), всецѣло жить уже не по своимъ хотѣніямъ, а по дивному оному совѣту и разумѣнію, свойственно доброй мысли, вполнѣ прямой и безукоризненной, не заключающей въ себѣ ничего коварнаго и лукаваго (Прем. VIII, 8). Ибо, говоритъ и это премудрость, *въ лукавую душу не войдетъ мудрость* (Прем. 1, 4). И псаломъ опять говоритъ: *совращающихся на кривые пути свои Господь отвергнетъ* (наравнѣ) *съ*

σουσι γῆν, καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.

32. Οὕτως ἡ τοῦ Θεοῦ σοφία τὸν ἑαυτῆς λόγον πρός τε τοὺς αὐτοῦ κήρυκας καὶ τοὺς ἐπὶ τὴν μυστικὴν αὐτῆς κεκλημένους τράπεζαν ἐν ὀλίγῳ κεφαλαιώσασα, καὶ τῶν ἐπάθλων αὖθις ἐκείνων ἀναμιμνήσκει καταταυτά, τούτῳ γὰρ τῷ τρόπῳ λέγουσα πολὺν ζήσεις χρόνον καὶ προστεθήσεταί σοι ἔτη ζωῆς. Τούτῳ τῷ τρόπῳ, τῷ τὴν ἀρχὴν τῆς σοφίας τὸν τοῦ Κυρίου τίθεσθαι φόβον πάσῃ σπουδῇ, φρόνησιν ζητεῖν καὶ κατορθοῦν ἔν γε τῇ θείᾳ γνώσει σύνεσιν τὴν ἐμήν· τοῦτο γὰρ ἡ τῶν ἁγίων χαρίζεται δήπου βουλή, τοῦτ' αὐτό σύνεσις ὡς εἶπον πεφυκυῖα τὶς θαυμαστὴ καὶ τοὺς τοῦ Θεοῦ νόμους ταῖς ἀγαθαῖς ἐντυποῦσα διανοίαις τὲ καὶ ψυχαῖς, ἐν πλαξὶ γραφομένους καρδίας σαρκίναις, οὐ μέλανι, ἀλλὰ χάριτι· τουτῳ τῷ τρόπῳ πολὺν χρόνον ζήσεις ὁ σπουδαῖος καὶ βέλτιστος ὄντως ἐμοί, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς. Πολὺν λέγουσα χρόνον μετὰ προσθήκης ζωῆς, τὸν μακάριον ἐκεῖνον τῷ ὄντι καὶ ἀτελεύτητον, τὸν ἅπαν ὡς ἂν εἴπῃ τὶς τὸ πολὺ καὶ πᾶσαν τὴν οἵαν δή τινα προσθήκην ἐν ἑαυτῷ φέροντα, καὶ ὑπὲρ ἅπαν τὸ κατ' ἐπίνοιαν πολὺ καὶ ὑπὲρ πᾶσαν ἐπινοουμένην ὄντα προσθήκην· καὶ τῆς ζωῆς ἐκείνης τῆς μακαρίας τὲ καὶ κυρίας, περὶ ἧς γε δήπου καὶ Χριστὸς αὐτὸς ἔλεγεν ὕστερον· Ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχω-

дѣлающими беззаконіе (Пс. 124, 5). И *лукавнующіе*, говоритъ, *истребятся, а кроткіе наслѣдуютъ землю и наслаждятся множествомъ мира* (Пс. XXXVI, 9. 11).

32. Премудрость Божія, изложивши такъ въ общихъ чертахъ рѣчь свою и къ проповѣдникамъ слова и къ званнымъ на таинственную ея трапезу, напоминаетъ тотъ часъ и о наградахъ имъ, говоря: *потому что такимъ образомъ умножатся дни твои, и прибавится тебѣ лѣтъ жизни* (Прит. IV, 11). Такимъ образомъ, то есть со всѣмъ вниманіемъ полагая страхъ Господень въ начало мудрости, ища разумѣнія и вѣдѣніемъ божественнымъ усовершая пониманіе меня (потому что это даруетъ совѣтъ святыхъ, сущее пониманіе нѣкое дивное, впечатлѣвающее въ благихъ мысляхъ и душахъ законы Божіи, пишемые на плотяныхъ скрижаляхъ сердца не чернилами, а благодатію (2 Кор. III, 3),—такимъ образомъ ты, стремящійся къ успѣху, проживешь много времени, и будешь у меня самымъ счастливымъ, и прибавится тебѣ годовъ жизни. Подъ множествомъ времени съ прибавкою жизни разумѣетъ дѣйствительно блаженное оное и безконечное время, заключающее въ себѣ, такъ сказать, множество и всякую такую прибавку, и множество превыше всякаго мыслен-

σι, καὶ περισσὸν ἔχωσιν, ἢ κατὰ μὲν τὸν αἰῶνα τὸν μέλλοντα, ζήσεις φησὶ καταλλήλως τὸν πολύν τι καὶ ἀτελεύτητον χρόνον ἐκεῖνον. Κατά γε τὰ εἰρημένα φημί· προστεθήσεταί σοι δὲ καὶ κατὰ τοῦτον τὸν βίον τόγε νῦν ἔχον ἔτη ζωῆς. Ἐπειδὴ γὰρ κατὰ τὴν αὐτὴν παροιμίαν τὰ μὲν ἔτη τῶν ἀσεβῶν ὀλιγωσθήσονται, ὁ δὲ φόβος Κυρίου προστίθησιν ἡμέρας, προστεθήσεταί φησι κἀνταῦθα τῷ σπουδαίῳ ἔτη ζωῆς. Εἰ μὲν βούλει, καὶ τὰ αἰσθητὰ ταυτὶ καὶ φαινόμενα· ἐπειδή γε καὶ τούτοις ἐσθ' ὅτε κἀνταῦθα δεξιοῦται τοὺς ἁγίους ἡ χάρις εἰς κοινὸν δηλαδὴ τῶν ἀνθρώπων ὄφελος· εἰ δ' οὖν, ἔτη τὲ καὶ ἡμέραι μᾶλλον εἰρήσθων αἱ νοηταί, ἃς ὁ νοητὸς τῆς δικαιοσύνης ἥλιος ὑπερφυῶς ἐν ταῖς τῶν δικαίων οἶδεν ἐργάζεσθαι θείαις ψυχαῖς, φωτὶ φῶς προστιθεὶς καὶ γνώσει διαπαντὸς χαριζόμενος γνῶσιν ἄρρητον. Περὶ ὧν καὶ ὁ θεῖος ἔλεγεν οἶμαί που Δαυὶδ· τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Καὶ ὁ σοφὸς αὐτὸς οὗτος αὖθις γῆρας τίμιον φησὶν οὐ τὸ πολυχρόνιον, οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Καὶ τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ὅπερ ταυτὸν ἂν εἴη τῷ προστεθήσεταί σοι ἔτη ζωῆς.

наго представленія, и прибавку превосходнѣе всякой воображаемой; подъ жизнію—ту блаженную и дѣйствительную, о которой безъ сомнѣнія и Христосъ въ послѣдствіи сказалъ: *Я пришелъ для того, чтобъ имѣли жизнь, и имѣли съ избыткомъ* (Іоан. X, 10). Или: въ будущемъ вѣкѣ, говоритъ, станешь жить въ свою очередь многое и нескончаемое время, по сказанному то есть; но и въ теперешней жизни прибавятся тебѣ годы жизни. Ибо, такъ какъ, по выраженію тойже книги Притчей, *лѣта нечестивыхъ сократятся, а страхъ Господень прибавляетъ дней* (Прит. X, 27), то и здѣсь, говоритъ, тебѣ, усердному ученику прибавится годовъ жизни. Если угодно, разумѣются годы чувственные и обнаруживающіеся, потому что и ими иногда еще здѣсь награждаетъ благодать, конечно на общую пользу человѣковъ; а если нѣтъ, пусть это лучше будутъ годы и дни, которые мысленное Солнце правды (Мал. IV, 2) сверхъестественно содѣлываетъ къ святыхъ душахъ праведниковъ (2 Петр. 1, 19), прилагая знаніе непзречепное. О нихъ, кажется мнѣ, и вдохновенный Давидъ сказалъ нѣгдѣ: *кто есть человѣкъ, хотящій жизни, любящій наслажденіе днями добрыми* (Пс. XXXIII, 13)? Да и самъ этотъ мудрецъ, опять, говоритъ: *не въ долго-*

вѣчности честная старость, и не числомъ лѣтъ измѣряется. Ибо мудрость есть сѣдина для людей, и безпорочная жизнь возрастъ старости. Достигши совершенства въ короткое время, онъ сполнилъ долгія лѣта (Прем. IV, 8. 9. 13). А это тоже самое, что—прибавится тебѣ годовъ жизни.

Εἰς τὸ αὐτὸ λόγος Γ'

Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον καὶ ὑπήρεισε στύλους ἑπτά· ἔσφαξε τὰ ἑαυτῆς θύματα καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν.

1. Διονύσιος μὲν ὁ μέγας, τῶν μεγάλων Θεοῦ μυστηρίων μύστης καὶ θεολόγος, περὶ τῆς θείας ταυτησὶ σοφίας ἐπιστέλλων ἐρωτήσαντι τῷ χρηστῷ Τίτῳ οἰκοδομεῖν ἑαυτῇ φησι τὴν σοφίαν οἶκον, ἐν ᾧ τήν τε τράπεζαν καὶ τὰ βρώματα καὶ τὸν κρατῆρα λέγεται προτιθέναι, τὴν οἶμαι μονὴν ἐφ' ἑαυτῆς τε καὶ ἕδραν, καὶ τὸ μονίμως ἀκίνητόν τε καὶ σταθερόν. Καθὸ μὲν γάρ φησι πρόνοια τῶν πάντων ἐστὶ καὶ ἐν αὐτῇ τὰ πάντα ἔκτισται, καὶ τὴν τῶν πάντων προνοητικῶς ἐνεργεῖν διαμονήν τε καὶ σύστασιν κατ' αὐτὸ τοῦτο προϊέναι δοκεῖ, πρὸς ἐνέργειαν δηλονότι χωροῦσα· καθὸ δὲ πάλιν τῶν πάντων οὐδέν ἐστιν οὐδαμῶς, ὑπερεξηρημένον πάντων τῶν ὄντων ὡς φύσει καὶ κυρίως Θεὸς δηλαδὴ καὶ δημιουργὸς πάντων

О томъ же слово третіе.

Премудрость построила себѣ домъ и утвердила семь столповъ; заколола свои жертвы и растворила въ чашѣ вино свое, и приготовила у себя трапезу.

1. Діонисій великій, великихъ тапнъ Божіихъ таинникъ и богословъ, пиша вопросившему о сей мудрости божественной доблестному Титу, говоритъ, что Премудрость *) построила себѣ домъ, въ которомъ предложила трапезу, лъства и чашу,—то есть, по моему мнѣнію, пребываніе въ ней самой и водруженіе, постоянно неподвижное и устойчивое пребываніе. Ибо, говоритъ, какъ Промыслъ объемлетъ все и Имъ все сотворено, то, думаетъ, самъ по себѣ промыслительно произ-

*) Или—Промыслъ, какъ понимаетъ Діонисій. См. 9-е посланіе въ Opera S. Dionysii Areop. tom. 2 (ed. 1634 Antverpiae).

τῶν ὄντων, ἐν ἑαυτῇ ὡσαύτως ἀεὶ λέγεται ὡς ἐν ἀκινήτῳ καὶ διηνεκεῖ τινι μονῇ ἑαυτῆς καὶ ἑστίᾳ. Ἐνεργοῦσα γὰρ σοφώτατα τὴν τῶν ὄντων κυβέρνησιν νοητῶν τε καὶ αἰσθητῶν, ἑαυτῆς οὐδόλως ἐξίσταται, ἀλλ' ἑδραῖον καὶ ἀναλλοίωτον καὶ ὡσαύτως ἔχον ἀεὶ τηρεῖ τὸ καθ' ἑαυτήν. Διὸ καὶ ἐν τῷ οἰκείῳ οἴκῳ καὶ τὴν θυσίαν τελεῖ, καὶ τὰ βρώματα, καὶ τὰ πόματα, καὶ τὸν κρατῆρα, καὶ πᾶσαν ἑτοιμάζει τὴν τράπεζαν, ἐκεῖνο δηλαδὴ συμβολικῶς αἰνιττομένου τοῦ λόγου, καθὰ δὴ καὶ φθάσαντες εἴπομεν, ὅτι πᾶσι τοῖς οὖσι σοφῶς καὶ προνοητικῶς οἰκονομοῦσα τὰ ἑκάστῳ κατάλληλα, τῆς οἰκείας μονῆς καὶ τῆς ἕδρας οὐκ ἐξίσταται· ἀλλ' ἐν αὐτῷ γε τῷ οἴκῳ αὐτῆς, ἐν τῷ ακινήτῳ φημὶ καὶ ἀπροϊτῳ καὶ αναλλοιώτῳ καὶ τῷ ἀεὶ ὡσαύτως ἔχειν ἐνεργεῖ πάντα, τὴν μονήν τε καὶ τὸ ἑδραῖον καὶ ἀναλλοίωτον ἐν τῇ κινήσει καὶ ἐνεργείᾳ, καὶ τὴν ἐνέργειαν αὖθις καὶ τὴν σοφὴν καὶ προνοητικὴν κίνησιν ἐν τῇ ἀμεταπτώτῳ στάσει ἑαυτῆς καὶ μονιμότητι κεκτημένη, καὶ τῷ κατάπαξ ἀναλλοιώτῳ,

водитъ продолженіе и состояніе всего, то есть выступая въ дѣйствіе; а какъ, опять, Промыслъ не есть чтолибо изъ всего, превосходитъ все существующее, какъ по природѣ и въ собственномъ смыслѣ Богъ, естественно и Творецъ всего существующаго, то въ Себѣ самомъ всегда такимъ же образомъ пребываетъ, какъ въ неподвижномъ и постоянномъ нѣкоемъ жилищѣ и бытіи. Ибо премудро управляя существами мысленными и чувственными, Промыслъ нисколько не выходитъ изъ Себя (не измѣняется на худшее), но всегда сохраняетъ непоколебимость. неизмѣняемость и одинаковое состояніе, присущее Ему. Посему и въ собственномъ домѣ совершаетъ жертву, и приготовляетъ яства и напитки и всю трапезу, такъ какъ очевидно рѣчь символически указываетъ на то, какъ мы и сказали уже, что премудро и предусмотрительно распредѣляя всѣмъ существамъ пристойное каждому, Промыслъ не отступаетъ отъ своей неизмѣняемости и неподвижности, но въ томъ же самомъ домѣ Своемъ, въ неподвижномъ, не выходящемъ изъ себя, неизмѣнномъ и всегда одинаковомъ состояніи, производитъ все, обладая постоянствомъ, непоколебимостію и неизмѣнностію при движеніи и дѣйствіи, и, съ другой стороны, обладая дѣйствіемъ и мудрымъ и предусмотрительнымъ движеніемъ при не-

2. Καὶ τὰ μὲν τοῦ σοφοῦ πατρὸς ἐκείνου καὶ θεολόγου τοιάδε, ὅσον ἀναπτύξαι φημι καὶ ἡμᾶς μερικῶς τὰ τῷ μεγάλῳ τούτῳ καὶ ὑψηλῷ σοφώτατά τε καὶ ὑψηλότατα περὶ τοῦ οἴκου τῆς σοφίας ῥηθέντα· οἷς δήπου καὶ τὰ νῦν ἡμῖν εἰρημένα συνάπτοντες ἐφεξῆς, ὅσα τέ φημι περὶ θυμάτων καὶ κρατῆρος καὶ ἄρτου, ὅσα τὲ περὶ δαιτυμόνων καὶ δούλων, καὶ τοῦ μεγάλου καὶ ὑψηλοῦ τῆς σοφίας κηρύγματος ἐκείνου, ἀρίστην τινὰ καὶ θαυμαστὴν τὴν ἐκ πάντων εὑρήσομεν συμφωνίαν, ὡς κἀκεῖνα καὶ ταῦτα τῆς αὐτῆς κατὰ καιρὸν εἰπούσης σοφίας διὰ τῶν κατὰ καιρὸν φημι σοφῶν θεολόγων τοῦ Πνεύματος.

3. Καιρὸς δ' ἂν εἴη λοιπὸν καὶ τὴν χρυσῆν ἐκείνην ἐπιθεῖναι κορωνίδα τῷ λόγῳ κατὰ τὰς ὑποσχέσεις καὶ τῷ λόγῳ προσαγαγεῖν ἤδη κατὰ τοὺς θεολόγους αὖθις τὸν λόγον, ἄνωθεν ὀργῶντα περὶ τοῦτο τὸ μέρος, καὶ τῶν καινῶν μυστηρίων τὲ καὶ τῆς τελετῆς πως ἂν εἴποις καινῶς ἐφιέμενον.

Ἡ σοφία, φησὶν, ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά· ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Σοφία μὲν οὖν, ἣν διά τε τῆς παλαιᾶς ὁμοῦ καὶ νέας Γραφῆς, καὶ δὴ καὶ τῆς ἐν αὐτοῖς ἐνεργούσης τοῦ

преложномъ существованіи Его и пребываніи, совершенно неизмѣняемомъ.

2. Таково мнѣніе премудраго отца нашего и богослова, сколько нужно выразить его, чтобы раскрыть и намъ отъ части сказанное симъ великимъ и возвышеннымъ мужемъ премудро и возвышенно о домѣ Премудрости. Рядомъ съ этимъ поставляя и сказанное теперь нами, и что еще скажу о жертвахъ, чашѣ и хлѣбѣ, и о гостяхъ и о рабахъ, и объ ономъ великомъ и возвышенномъ проповѣданіи Премудрости, найдемъ во всемъ прекрасную и дивную гармонію (стройность), такъ какъ и то и это говоритъ сообразно времени одна и таже Премудрость чрезъ по временамъ бывшихъ мудрыхъ богослововъ Духа.

3. Итакъ положимъ хорошій конецъ этой рѣчи относительно обѣтованій, и къ сей рѣчи тутъ же присоединимъ рѣчь на основаніи богослововъ, которые издавна касались этого предмета и, можно сказать, съ новыхъ сторонъ обозрѣвали и новыя тайны и священнодѣйствіе.

Премудрость, говорится, *построила себѣ домъ и утвердила семь столповъ; заколола свои жертвы и растворила въ чашѣ вино свое, и приготовила у себя трапезу.*

Премудрость же, которую въ ветхомъ и новомъ Писаніи, со-

Πνεύματος χάριτος συμφώνως ἐξύμνησαν ἤδη φθάσαντες οἱ τοῦ Πνεύματος σοφοὶ θεολόγοι, ἡ κοινὴ τῆς ὁμοουσίου καὶ ἀδιαιρέτου Τριάδος, τῆς μιᾶς φημι καὶ παντοδυνάμου καὶ ἀσυγχύτου Θεότητος, ἔστιν ἐνέργεια, ἐν Ἁγίῳ Πνεύματι διδομένη τοῖς ἀξίοις, τῷ ἑνὶ φημι τῆς Τριάδος Θεῷ, τῷ συνδημιουργῷ μὲν καὶ συμπληρωτικῷ τῆς πρώτης τοῦ κόσμου κτίσεως. Τῷ Λόγῳ Κυρίου γάρ φησι ὁ ψαλμός, οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δυναμις αὐτῶν. Καί, Πνεῦμα Κυρίου τὸ ποιῆσάν με, πνοὴ δὲ Παντοκράτορος ἡ διδάσκουσά με, σοφός τις ἕτερος πάλιν φησί. Συνδημιουργῷ δ' αὖθις καὶ καινουργῷ τῆς δευτέρας ἐν Χριστῷ κτίσεώς τε καὶ ἀναπλάσεως, πολλῷ τῆς προτέρας ἐκείνης ὑψηλοτέρας καὶ παραδοξοτέρας, περὶ ἧς δήπου καὶ ὁ θεῖος ἔλεγεν αὖθις Δαυίδ· ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ὁ δὲ Θεὸς διὰ τοῦ θαυμαστοῦ Ἰωὴλ πάλιν, μετὰ ταῦτα, φησίν, ἐκχεῶ ἐκ τοῦ Πνεύματος μου ἐπὶ πᾶσαν σάρκα, καίγε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, καὶ προφητεύσουσιν. Ὃ δὴ καὶ Χριστὸς αὐτὸς πρὸς τοὺς μαθητὰς ἔργοις ἐπισφραγίζων ὕστερον ἔλεγεν· ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ' ὑμᾶς· αὐτὴν ἐκείνην δηλονότι τὴν ἤδη διὰ τοῦ μακαρίου ῥηθεῖσαν ἡμῖν Ἰωήλ· ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλήμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. Περὶ ἧς δήπου καὶ πρότερον

гласно съ дѣйствующею въ нихъ благодатію Духа, воспѣвали мудрые богословы Духа, есть общее дѣйствіе всей единосущной и нераздѣльной Тройцы, разумѣю—единаго. всемогущаго и несліяннаго Божества, дѣйствіе, достойнымъ подаемое во Святомъ Духѣ, единомъ отъ Тройцы Богѣ, содѣйствовавшемъ и вмѣстѣ совершавшемъ первое созданіе міра. Ибо въ псалмѣ говорится: *Словомъ Господа небеса утверждены, и Духомъ устъ Его вся сила ихъ* (Пс. XXXII, 6). И другой опять нѣкто мудрый мужъ говоритъ: *Духъ Господа сотворилъ меня, и дыханіе Вседержителя научаетъ меня* (Іов. XXXIII, 4). Онъ же опять есть соучастникъ въ зиждительствѣ и новомъ твореніи второго во Христѣ созданія и возстановленія, гораздо высшаго и чуднѣйшаго того прежняго, о которомъ безъ сомнѣнія и боговдохновенный Давидъ опять сказалъ: *пошлешь Духа Твоего, и созиждутся, и обновишь лице земли* (Пс. CIII, 30). Богъ же опять чрезъ дивнаго Іоиля говоритъ: *послѣ сего излію отъ Духа Моего на всякую плоть, и на рабовъ Моихъ и на рабынь Моихъ излію отъ Духа Моего, и будутъ пророчествовать* (Іоил. II, 28. 29. ср. Дѣян, II, 17. 18). И самъ Христосъ, обозначая это дѣлами, впослѣдствіи сказалъ ученикамъ: *вотъ я пошлю обѣ-*

δυνάμεως πρὸς τοὺς αὐτοὺς ἔλεγε μαθητάς· νῦν μὲν, ἐγὼ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν· νῦν δ' αὖθις ἔν γε τῷ τοῦ πάθους καιρῷ· πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν, καὶ ἀναμνήσει ὑμᾶς πάντα, ὅσα εἶπον ὑμῖν. Ὅσα γὰρ ἂν ἀκούσῃ λαλήσει, καὶ τὰ ἐρχόμενα, δηλονότι, τὰ μέλλοντα, ἀναγγελεῖ ὑμῖν. Ἃ δὴ καὶ Παῦλος ὁ μέγας ἐπισφραγίζων ὕστερον μετὰ τὸ πράγμασιν αὐτοῖς ἀποτελεσθῆναι φημί, νῦν μὲν Ῥωμαίοις ἔλεγεν ἐπιστέλλων· οὐκ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ πατήρ. Κορινθίοις δ' αὖθις, ὁ Κύριός, φησι, τὸ Πνεῦμά ἐστιν· οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία. Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος.

тованіе Отца Моего на васъ,— то есть самое оное, уже высказанное намъ чрезъ Іоиля; *вы же оставайтесь въ городѣ Іерусалимѣ, доколѣ не облечетесь силою свыше* (Лук. XXIV, 49). Объ этой конечно силѣ и прежде говорилъ тѣмъ же ученикамъ— одинъ разъ: *Я дамъ вамъ уста и премудрость, которой не возмогутъ противорѣчить или противостоять всѣ противящіеся вамъ* (Лук. XXI, 15); въ другой же разъ опять во время страданій: *еще многое имѣю сказать вамъ, но вы теперь не можете вмѣстить* (Іоан. XVI, 12). *Когда же пріидетъ Утѣшитель, Духъ Святый, то наставитъ васъ на всякую истину, и напомнитъ вамъ все, что Я говорилъ вамъ* (Іоан. XVI, 13). Это самое обозначая впослѣдствіи, послѣ исполненія на самомъ дѣлѣ, и великій Павелъ говорилъ въ посланіи къ Римлянамъ, *вы не приняли духа рабства, чтобы снова жить въ страхѣ, но приняли Духа усыновленія, которымъ взываемъ Авва, Отче* (Рим. VIII, 15). Коринѳянамъ же говоритъ опять: *Господь есть Духъ; а гдѣ Духъ Господень, тамъ свобода. Мы же всѣ открытымъ лицемъ взирая на славу Господню, преображаемся въ тотъ же образъ отъ славы въ славу, какъ отъ Господня Духа* (2 Кор. III, 17. 18).

4. Οὗτος ὁ Παράκλητος τοιγαροῦν, ἅτε δὴ καὶ Δεσπότης πάντων ὢν καὶ Θεός, ἐνεργεῖ τὰ πάντα ἐν πᾶσι, καθὰ πρὸς τοὺς αὐτοὺς ὁ αὐτὸς ἀπόστολος αὖθις φησιν, ἑκάστῳ δίδοται, λέγων, ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον. Καὶ ᾧ μὲν δίδοται τόδε, ᾧ δὲ τόδε. Πάντα δέ φησιν ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. Διαιροῦν πάντα τῇ κοινῇ δηλονότι δυνάμει καὶ ἐνεργείᾳ καὶ σοφίᾳ τῆς μεγάλης Τριάδος, τῆς μιᾶς καὶ ὁμοτίμου καὶ παντοδυνάμου Θεότητος, καθάπερ εἰπόντες ἔφθημεν. Ὁ δὴ καὶ ὁ μέγας ἐμφανῶς δηλῶν Ἀθανάσιος οὕτω πως φησὶν ἐπιστέλλων πρὸς Σεραπίωνα· ἡ διδομένη πάρις καὶ δωρεὰ ἐν Τριάδι δίδοται, χαρὰ Πατρὸς δι Υἱοῦ ἐν Πνεύματι Ἁγίῳ. Ὥσπερ γὰρ ὡς ἐκ Πατρός ἐστι διὰ Υἱοῦ ἡ διδομένη χάρις, οὕτως οὐκ ἂν γένοιτο κοινωνία τῆς δόσεως ἐν ἡμῖν ἄλλως, εἰ μὴ ἐν Πνεύματι τῷ Ἁγίῳ. Τούτου γὰρ μετέχοντες ἔχομεν τοῦ Πατρὸς τὴν ἀγάπην καὶ τοῦ Υἱοῦ τὴν χάριν, καὶ αὐτοῦ τοῦ Πνεύματος τὴν κοινωνίαν. Καὶ ὁ Βασίλειος ὡσαύτως ὁ μέγας οὐκ ἔστιν ὅλως δωρεά τις φησὶν ἄνευ τοῦ Ἁγίου Πνεύματος εἰς τὴν κτίσιν ἀφικνουμένη. Διὸ καὶ ὁ σοφὸς Σολομῶν οὕτω πως φησὶ διαῤῥήδην περὶ τῆς σοφίας αὐτῆς· ἐμοὶ δῶη φησὶν ὁ Θεὸς κατὰ γνώμην εἰπεῖν καὶ ἐνθυμηθῆναι ἀξίως τῶν λεγομένων, ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι, καὶ τῶν σοφῶν διορθωτής. Καὶ αὖθις· τίς ἀνθρώπων γνώσεται βουλὴν Θεοῦ; ἢ τίς ἐνθυμήσεται, τί θέλει ὁ Κύριος;

4. И сей Утѣшитель, будучи и Владыкою всего и Богомъ, *производитъ все во всѣхъ*, какъ опять тотъ же апостолъ говоритъ къ нимъ же, выражаясь: *каждому дается проявленіе Духа на пользу. И одному дается* то-то, *другому* то-то. *Все же сіе*, говоритъ, *производитъ одинъ и тотъ же Духъ, раздѣляя каждому особо, какъ Ему угодно* (1 Кор. XII, 6—11). Раздѣляетъ все, то есть, общею силою, дѣйствіемъ и мудростію великой Тройцы, единаго равночестнаго и всемогущаго Божества, какъ мы сказали уже. И великій Аѳанасій, показывая это, такъ вотъ говоритъ въ письмѣ къ Серапіону: „подаваемая въ Тройцѣ благодать и даръ дается отъ Отца чрезъ Сына въ Духѣ Святомъ. Потому что какъ благодать, даруемая Сыномъ, есть отъ Отца, такъ не можетъ быть общенія даянія въ насъ иначе, какъ въ Духѣ Святомъ. Ибо пріобщившись Ему, имѣемъ любовь Отца, благодать Сына и общеніе самого Духа“ *). Подобно и Василій великій **) говоритъ: „совсѣмъ никакой даръ не доходитъ до творенія безъ Духа Святаго“. Посему и мудрый Соломонъ такъ вотъ ясно говоритъ о той же

*) Аѳанасія Алекс. первое посл. къ Серапіону (Твор. 3, 49).

**) Василія Вел. О Святомъ Духѣ, гл. 24.

Μόλις εἰκάζομέν φησι τὰ ἐπὶ γῆς· καὶ τὰ ἐν χερσὶν εἰκάζομεν μετὰ πόνου· τὰ δὲ ἐν οὐρανοῖς τίς ἐξιχνίασε; Βουλὴν δέ σου τίς ἔγνω, εἰ μὴ σὺ ἦν ἔδωκας σοφίαν καὶ ἔπεμψας τὸ Ἅγιόν σου Πνεῦμα ἀπὸ ὑψίστων; Καὶ οὕτω διορθώθησαν αἱ τρίβοι τῶν ἐπὶ τῆς γῆς, καὶ τὰ ἀρεστά σου ἐδιδάχθησαν ἄνθρωποι, καὶ τῇ σοφίᾳ σου ἐσώθησαν.

мудрости: *да подастъ мнѣ Богъ говорить по разумѣнію и мыслить достойно о подаваемомъ; потому что Онъ есть и руководитель къ мудрости, и исправитель мудрыхъ* (Прем. VII, 15). И опять: *кто изъ людей въ состояніи познать совѣтъ Божій, или кто можетъ уразумѣть, что угодно Господу? Едва*, говоритъ, *постигаемъ то, что на землѣ, и съ трудомъ понимаемъ то, что подъ руками, а что на небесахъ, кто изслѣдовалъ? Волю же Твою кто позналъ бы, еслибы Ты не даровалъ премудрости и не ниспослалъ свыше Святаго Духа Твоего? И такимъ образомъ исправились пути живущихъ на землѣ, и люди научились угодному Тебѣ и спаслись премудростію Твоею* (Прем. IX, 13. 16—19).

5. Οὕτω τῷ σοφῷ Σολομῶντι περί γε τῆς σοφίας αὐτῆς εὐαγγελισταὶ καὶ ἀπόστολοι καὶ πάντες οἱ σοφοὶ τῆς νέας ὁμοῦ διὰ πάντων ἄριστα καὶ τελεώτατα συμφωνοῦσι, θείαν ἐνέργειαν αὐτὴν εἰρηκότες καὶ δύναμιν, διδομένην ἐν θείῳ φημὶ Πνεύματι. Πνεῦμα γὰρ αὐτὸ τοῦτο σοφίας ἐκείνοις εἴρηται καὶ γνώσεως καὶ συνέσεως καὶ βουλῆς, καὶἀ δὴ καὶ πολλάκις ἤδη φθάσαντες εἴπομεν.

5. Такъ съ мудрымъ Соломономъ относительно тойже премудрости прекрасно и совершенно согласуются во всемъ евангелисты, апостолы и всѣ мудрые новозавѣтные, назвавшіе ее божественнымъ дѣйствіемъ и силою, подаваемою во Святомъ Духѣ. Ибо о томъ же самомъ Духѣ премудрости, вѣдѣнія, разумѣнія и совѣта говорятъ они, какъ не разъ уже высказали мы.

Εἰ δὲ καὶ τὴν ἐνυπόστατον τοῦ Πατρὸς σοφίαν, τὸν μονογενῆ δηλαδὴ τοῦ Πατρὸς Υἱὸν καὶ Θεόν, τὸν τῆς ὁρωμένης ἅμα καὶ ἀοράτου κτίσεως

Если же кто скажетъ, что и ипостасная Премудрость Отца, единородный Сынъ Отца и Богъ, Творецъ и Господь видимой и

Δημιουργόν τε καὶ Κύριον εἶποι τις ἐνεργεῖν ἐκεῖνα τὰ θεῖα δράματα, οἶκον ἑαυτῷ οἰκοδομοῦντα καὶ τράπεζαν ἑτοιμάζοντα, καὶ τἆλλα πάντα τὰ προειρημένα φημί· Σοφία γὰρ καὶ δύναμις ἐνυπόστατος καὶ Λόγος ὁ αὐτός ἐστι τοῦ Πατρός· οὐ διαφερόμεθα. Ἐνεργεῖ καὶ γὰρ πάντα τοῖς ἀποδοθεῖσι λόγοις κατὰ ταὐτὰ κοινὴν τὴν ῥηθεῖσαν σοφίαν καὶ τὴν ἐνέργειαν καὶ τὴν δύναμιν κεκτημένος μετὰ Πατρός τε καὶ Πνεύματος, οἷα δὴ καὶ Θεὸς ὁμότιμός τε καὶ ὁμοούσιος, καὶ κοινῶς καὶ ὁμοτίμως ἐκείνοις τὰς θεοπρεπεῖς δωρεὰς διανέμων ἀναλόγως τοῖς χρῄζουσιν. Ἐπειδὴ καὶ τῆς σοφίας αὐτός ἐστι χορηγός, καὶ διορθωτὴς τῶν σοφῶν, κατὰ τὸν εἰπόντα προβραχέος σοφόν. Καὶ μὴν καὶ τὸ Πνεῦμα τοῖς ἀποστόλοις αὐτός ἐστιν ὁ διδούς· ποτὲ μὲν ἐπὶ τὸ κήρυγμα τοὺς μαθητὰς ἀποστέλλων πρὸ τοῦ σταυροῦ καὶ τοῦ πάθους φημί, ποτὲ δ' αὖθις μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν ἐμφυσήματι τὴν χάριν ἐμπνέων, καὶ λάβετε Πνεῦμα Ἅγιον λέγων τρανῶς. Καὶ τελευταῖον ἐπὶ πᾶσιν ἰδοὺ φησιν. ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ' ὑμᾶς. Ὃ δὴ καὶ γέγονεν, ὡς ἴσμεν, μετὰ βραχύ, πυρίνων εἶδει γλωσσῶν ἐν τῷ ὑπερῴῳ κατὰ τὰς ὑποσχέσεις τοῦ Παρακλήτου παρ' ἐκείνους φοιτήσαντος. Κοινὴ τοιγαροῦν ἡ σοφία τοῖς ὁμοτίμοις, Πατρί τε καὶ Υἱῷ φημι καὶ τῷ Πνεύματι, ὡς φυσικὴ καὶ οὐσιώδης ἐκείνων δύναμις, περὶ ἧς ἡμῖν ἅπας ὁ λόγος ἄνωθεν. Καὶ διαφέρει τὸ παράπαν οὐδέν, νῦν μὲν παρὰ τοῦ Πνεύματος, νῦν δὲ παρὰ τοῦ Υἱοῦ,

невидимой твари разумѣется подъ производящимъ оныя божественныя дѣйствія, подъ созидающимъ себѣ домъ, приготовляющимъ трапезу и все иное, прежде сказанное (пот. что Онъ есть Премудрость, Сила ипостасная и Слово Отчее: (1 Кор. 1, 30. Евр. 1, 3. Іоан, 1, 1): то мы не споримъ. Ибо производитъ все по сказанному, обладая общею указанною премудростію, дѣйствіемъ и силою наравнѣ съ Отцемъ и Духомъ, какъ Богъ равночестный и единосущный, обще и равночестно съ Ними раздающій богоприличные дары соотвѣтственно тѣмъ, кто нуждается въ нихъ. Потому что и Онъ есть руководитель къ мудрости и исправитель мудрыхъ, какъ сказалъ недавно приведенный нами мудрецъ. Онъ и Духа Святаго сообщалъ апостоламъ,—и посылая учениковъ на проповѣдь прежде креста и страданій (Мѳ. X, 16—20. Лук. X, 19. XI, 11, 12), и снова послѣ страданія и воскресенія дуновеніемъ сообщая благодать и ясно говоря: *примите Духа Святаго* (Іоан. XX, 22). И напослѣдокъ ко всѣмъ говоритъ: *вотъ Я пошлю обѣтованіе Отца Моего на васъ* (Лук. XXIV, 49), что и сбылось, какъ знаемъ, вскорѣ, когда Утѣшитель, согласно съ обѣтованіями, сошолъ на нихъ въ горницѣ въ видѣ огненныхъ языковъ (Дѣян. II, 3. 4). Итакъ премудрость обща равночестнымъ,

ποτὲ δ' αὖθις παρ' ἀμφοτέρων ἢ καὶ τῶν τριῶν ἅμα καταταυτὰ ταύτην δίδοσθαι λέγεσθαι, κατὰ τὸν τῆς θεολογίας ἐπώνυμον, Γρηγόριον τὸν πάνυ φημί. Μετὰ Παύλου γάρ, ἐκεῖνος φησί, θεολόγησον, τοῦ πρὸς τρίτον οὐρανὸν ἀναχθέντος, ποτὲ μὲν τῶν τριῶν μεμνημένου, ποτὲ δὲ τῶν δύο ἢ τινός ὡς ἑπομένου παντως τοῦ λειποντος· καὶ ποτὲ μὲν τὴν ἐνέργειαν τοῦ Θεοῦ τῷ Πνεύματι διδόντος, ὡς οὐδὲν διαφέροντος, ποτὲ δὲ ἀντὶ τοῦ Πνεύματος τὸν Χριστὸν ἐπιφέροντος. Εἴτε γοῦν τὴν ἐνυπόστατον τοῦ Πατρὸς Σοφίαν, τὸν Υἱὸν δηλαδὴ καὶ Λόγον, εἴποι τις τὰ προειρημένα δράματα τῆς σοφίας διενεργεῖν· εἴτε τὸ συμφυές τε καὶ ὁμότιμον Πνεῦμα, τὸ ἀχώριστον ἐκείνου παντί· εἴτε τὴν τῶν ἀμφοτέρων φυσικὴν αἰτίαν τε καὶ ἀρχήν, τὸν ἄναρχον φημι Πατέρα καὶ Προβολέα καὶ ὁμοούσιον· εἴτε καὶ τὴν Ἁγίαν Τριάδα πᾶσαν κοινῇ, κοινὸν ἔχουσαν ὥσπερ τὴν οὐσίαν καὶ τὴν θεότητα, οὕτω δὴ καὶ τὴν φυσικὴν ἐνέργειαν καὶ τὴν δύναμιν καὶ τὴν σοφίαν αὐτήν, ὃ δὴ καὶ πεφιλοσόφηται τῶν θεολόγων ἤδη τισίν· ἔν τι καὶ τὸ αὐτὸ καὶ νοήσει πάντως γε καὶ ἐρεῖ, ῥήμασι μόνοις ἐξαλλάττων τοὺς λόγους, οὐ πράγμασιν. Ἡ αὐτὴ καὶ γὰρ ἐνεργήσει θεία σοφία τὰ προῤῥηθέντα πάντα καταταυτὰ κοινή τις οὖσα καὶ φυσικὴ τῆς μιᾶς καὶ ὁμοουσίου Τριάδος σοφία τε καὶ ἐνέργεια, καθὰ δὴ καὶ πολλάκις ἤδη φθάσας ὁ λόγος ἐδήλωσεν.

Отцу и Сыну и Духу, какъ природная и существенная Ихъ сила, о которой у насъ изъ начала вся рѣчь. И совсѣмъ никакого различія не заключается въ томъ, что подаяніе ея иногда усволяется Духу, иногда Сыну, иногда же опять Обоимъ или и Тремъ вмѣстѣ, какъ сказалъ прозванный по богословію, разумѣю славнаго Григорія. Ибо говоритъ онъ: „богословствуй съ Павломъ, возведеннымъ до третьяго неба, который упоминаетъ иногда о трехъ ипостасяхъ, иногда же о двухъ или объ одной, какъ бы прочія подразумѣвались всегда въ упомянутыхъ; а иногда дѣйствія Божіи приписываетъ Духу, какъ бы въ семъ не было никакого различія; иногда вмѣсто Духа ставитъ Христа“ *). Посему, скажетъ ли кто, что ипостасная Мудрость Отца, то есть Сынъ и Слово, производитъ упомянутыя дѣйствія Премудрости; или соестественный и равночестный Духъ, никогда не разлучающійся отъ Него; или естественная Вина и Начало Обоихъ, безначальный и единосущный Отецъ и Изводитель; или и вся вообще Святая Тройца, имѣющая какъ общую сущность и божество, такъ и естественныя дѣйствія, и силу, и самую мудрость, какъ любомудр-

*) Григорія Бог. слово 34, къ пришедшимъ изъ Египта (Тв. 3, стр. 193).

6. Ἀλλ' ἐπειδή γε καὶ τῷ Υἱῷ, σάρκα τὴν καθ' ἡμᾶς φιλανθρώπως ἐνδυσαμένῳ χρόνοις ὑστέροις, ἰδίᾳ τὸ δρᾶμα καὶ τὴν εἰκόνα ταύτην τῆς Θεοῦ σοφίας οἱ σοφοὶ θεολόγοι προσήκειν εἰρήκασι, τῇ μιᾷ καὶ συνθέτῳ ὑποστάσει, τούτου τὸν λόγον ἰδίᾳ προσάγοντες. Ταῦτα γὰρ καὶ μόνα τοῦ Λόγου φασὶν ἴδια, ὅσα κατὰ τὴν σάρκα φημὶ καὶ τὴν πρόσληψιν. Οὐδὲ γὰρ ἐν τούτοις ὅ τε Πατὴρ καὶ τὸ Πνεῦμα τῷ Λόγῳ κατά τι κεκοινωνήκασιν, εἰ μὴ κατὰ τὴν ἀδικίαν φασὶν καὶ τὸ τῆς βουλῆς κοινόν τε καὶ ἀδιάφορον. Ἐπεὶ ταῦθ' οὕτω φασὶν ἐκεῖνοι, καὶ δὴ καὶ ἡμεῖς, μᾶλλον δὲ καὶ ἄνωθεν τούτοις ἑπόμενοι καὶ πρὸς αὐτὸ τοῦτο, καθάπερ ἔφθην εἰπών, ἐκ πολλοῦ βλέποντες ἐνταῦθα γεγόναμεν, φέρε τοῦ Λόγου διδόντος καὶ κατὰ τοῦτον τὸν λόγον τὸν περὶ τῆς σοφίας λόγον ἐπισκεμψώμεθα.

ствуютъ нѣкоторые богословы *): то одно и тоже безъ сомнѣнія и представитъ въ мысли, и выразитъ, реченіями только видоизмѣняя мысль, не самымъ дѣломъ. Ибо высказанное все производитъ одна и таже божественная премудрость общею и природною мудростію и дѣйствіемъ единой и единосущной Троицы, какъ не разъ уже показало настоящее слово.

6. Но и къ Сыну въ особенности, который по человѣколюбію для нашего спасенія воплотился въ послѣднія времена (1 Петр. 1, 20), мудрые богословы **) относили это дѣяніе и это представленіе премудрости Божіей, къ Его единой и сложной ипостаси, приводя особенное основаніе этому. Потому что, говорятъ, дѣла воплощенія и воспріятія (природы человѣческой) принадлежатъ собственно только Слову. Ни Отецъ, ни Духъ не участвовали въ этомъ съ Словомъ, хотя, говорятъ, не несправедливо признавать и общность хотѣнія и нераздѣльность. Поелику такъ они говорятъ о семъ, да и мы теперь, а лучше сказать — и изначала послѣдуя имъ и издавна обращали вниманіе на это самое, какъ я прежде

*) Дамаскина. Точное Изл. Вѣры кн. 1, гл. 13. Кн. 4, гл. 18.

**) Григорій Богословъ въ 30 словѣ (второмъ о Богѣ Сынѣ), Аѳанасій Алекс. во второмъ словѣ противъ. Аріанъ, Златоустъ и др.

7 · Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά· ἔσφαξε τὰ ἐκείνης θύματα καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Ἡ ενυπόστατος καὶ ἀπαράλλακτος τοῦ Πατρὸς εἰκὼν καὶ σοφία, ὁ ζῶν τε καὶ ἐνεργὴς Λόγος καὶ Υἱὸς ὁμοούνιος τοῦ Θεοῦ καὶ Θεὸς, ἄπειρος καὶ ἀπερίγραπτος ὢν τῷ παντὶ, καὶ χωρητὸς οὐμενοῦν οὐδαμοῦ τὸ παράπαν διὰ τὴν τῆς θεότητος φύσιν, ἄνθρωπος ὕστερον εὐδοκήσας γενέσθαι φιλανθρωπίας ὑπερβολῇ διὰ τὸ σῶσαι τὸν ὑπ' αὐτοῦ δημιουργηθέντα πρότερον ἄνθρωπον, ᾠκοδόμησεν ἑαυτῷ οἶκον ὑλικόν τε καὶ ἔμψυχον, τὸν τοῦ ἰδίου σημὶ σώματος ναὸν, ἐκ τῶν ἀχράντων αἱμάτων καὶ τῆς σαρκὸς τῆς παναγίας Παρθένου καὶ Θεοτόκου, εὐδοκίᾳ τοῦ ἰδίου Πατρὸς καὶ συνεργίᾳ τοῦ παναγίου Πνεύματος, εἷς ἐκ δύω προελθών, τέλειος ὁ αὐτὸς ἐν θεότητι, καὶ τέλειος ἐν ἀνθρωπότητι, διττὸς τὴν φύσιν, μοναδικὸς τὴν ὑπόστασιν. Ὁ αὐτὸς γὰρ καὶ εἷς Χριστός, καὶ μονογενὴς καὶ ὁμοούσιος Υἱὸς τοῦ Θεοῦ, καὶ μονογενὴς καὶ ὁμοούσιος τῆς ἁγίας παρθένου Υἱός· τὰ τῆς ἑκατέρας φύσεως ἰδιώματα, τῆς τε θεότητός σημι καὶ τῆς ἀνθρωπότητος, ἀναλλοίωτα καὶ ἀσύγχυτα σώζων ἐν ἑαυτῷ, καθάπερ δὴ καὶ τὰς φύσεις αὐτάς. Ὠκοδόμησε τοίνυν αὐτὸς ἑαυτῷ τὸν σωματικὸν οἶκον ἐκ τῶν αἱμάτων, ὅπερ ἔφην, καὶ

сказалъ, остановились на этомъ, то, при содѣйствіи Слова, и въ этомъ отношеніи разсмотримъ настоящую рѣчь о мудрости.

7. *Премудрость построила себѣ домъ и утвердила семь столповъ; заколола свои жертвы и растворила въ чашѣ вино свое, и приготовила у себя трапезу.* Ипостасный и неизмѣнный Образъ Отца (2 Кор. IV, 4) и Премудрость (1 Кор. 1, 25), живое (Іоан. XIV, 6) и дѣйсвенное Слово (Іоан. 1, 1. 2), Сынъ Божій единосущный и Богъ (1 Іоан. V, 20), во всемъ безпредѣльный и неописуемый, совершенно необъемлемый ничѣмъ по естеству Божескому, напослѣдокъ по преизбытку человѣколюбія благоволившій содѣлаться человѣкомъ для спасенія Имъ же созданнаго прежде человѣка, построилъ Себѣ домъ вещественный и одушевленный, то есть храмъ свой тѣлесный, изъ непорочныхъ кровей и плоти всесвятой Дѣвы Богородицы, по благоволенію Отца Своего и при содѣйствіи Всесвятаго Духа, одинъ изъ двухъ, одинъ и тотъ же совершенный въ Божествѣ, и тотъ же совершенный по человѣчеству, двойственъ по природѣ, единиченъ по ипостаси *). Пот. что Онъ есть одинъ и тотъ же Христосъ, единородный и единосущный Сынъ

*) Дамаскина Точное Изл. Вѣры— кн. 3, гл. 2 и 3.

τῆς σαρκὸς τῆς ἀχράντου καὶ παναγίας Μητρός. Ἐπειδὴ γὰρ τοῦ τόκου καὶ τῆς θείας συλλήψεως ἐκείνης ἀνδρὸς φυσικὴ συνάφεια καὶ γάμος οὐχ ἡγήσατο τὸ παράπαν, αὐτὸς ἑαυτῷ τὸν τοῦ σώματος ᾠκοδόμησε θεῖον οἶκον, ὡς Θεὸς ἑαυτῷ δηλονότι τὴν σάρκα δημιουργήσας ἐκ τῆς σαρκὸς τῆς ἁγίας παρθένου, τὴν ὑπόστασίν τε τῆς ἰδίας θεότητος ὑπόστασιν καὶ τῇ σαρκὶ δεδωκώς· καὶ οὕτως ἐν ὑποστάσει μιᾷ διπλοῦς προελθὼν τὴν φύσιν, Θεὸς καὶ ἄνθρωπος αὐτὸς, καθάπερ ἔφθην εἰπών. Ὁ δὴ καὶ Γαβριὴλ ὁ θεῖος πρὸς τὸ καινὸν καὶ ὑπερφυὲς τῶν εὐαγγελίων διαπορούσῃ τῇ παναγίᾳ παρθένῳ καὶ λεγούσῃ, πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω, σαφηνίζων καὶ τὸ κεκρυμμένον ὥσπερ ὑποδεικνύς, Πνεῦμα Ἅγιον, ἔλεγεν, ἐπελεύσεται ἐπί σε, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· τὸν δημιουργὸν ὁμοῦ καὶ οἰκήτορα τοῦ θείου ναοῦ διδάσκων αὐτήν· καὶ τὸ γεννώμενον γάρ φησιν ἅγιον κληθήσεται Υἱὸς Θεοῦ. Ὁ δὴ καὶ Δανιὴλ ὁ μέγας προγράφων ἔλεγε πρότερον· ἐτμήθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν καὶ ἐπάταξε τὴν εἰκόνα· τὴν ἄσπορον σύλληψιν καὶ τὸν ὑπερφυᾶ τόκον ἐκεῖνον, τὸν ἄνευ ἀνδρὸς, αἰνιττόμενος τοῦ Χριστοῦ.

Святой Дѣвы, свойства той и другой природы, Божества и человѣчества, сохраняющій въ Себѣ неизмѣнными и несліянными, какъ и самыя природы. Итакъ Онъ самъ себѣ построилъ тѣлесный домъ, какъ сказано, изъ кровей и плоти непорочной и всесвятой Матери. Ибо рожденію и божественному зачатію ея совсѣмъ не предшествовало естественное познаніе мужа и брачное сожитіе, но Онъ самъ себѣ построилъ божественный домъ изъ тѣла, какъ Богъ то есть создавши Себѣ плоть изъ плоти святой Дѣвы, и въ ипостаси собственнаго своего Божества давши ипостась и для плоти *), и такимъ образомъ въ одной ипостаси ставши двойственнымъ по природѣ, Богомъ и человѣкомъ вмѣстѣ, какъ я прежде сказалъ. И святый Гавріилъ, когда всесвятая Дѣва недоумѣвала о новомъ и сверхъестественномъ благовѣстіи и говорила: *какъ будетъ это, когда я мужа незнаю?* уясняя это и какъ бы пріоткрывая сокровенное, сказалъ: *Духъ Святый найдетъ на тебя, и сила Всевышняго осѣнитъ тебя* (Лук. 1, 34. 35), давая ей знать вмѣстѣ и о Творцѣ и и объ Обителѣ храма божественнаго. Ибо *посему*, говоритъ, *и раждаемое Святое наречется Сыномъ Божіимъ*. И великій Даніилъ предъозначая это ска-

*) Дамаскинъ тамъ же, гл. 12.

8. Ὠκοδόμησεν οὖν οἶκον, ἤτοι ναὸν ἅγιον, τὸν τοῦ σώματος, αὐτὴ δὶ ἑαυτῆς ἑαυτῇ ἡ τοῦ Θεοῦ καὶ Πατρὸς ἐνυπόστατος καὶ ζῶσα Σοφία, ὁ Υἱός φημι τοῦ Θεοῦ καὶ Θεός· καὶ ὑπήρεισέ φησι στύλους ἑπτά. Εἰ μὲν βούλει, λάμβανε καὶ σωματικῶς τοῦτο καὶ ἀνθρωπίνως, ἐπεὶ τέλειος ἄνθρωπος ἦν, πάντα τὰ τῆς φύσεως ἰδιώματα καθάπερ εἴπομεν φέρων ἐν ἑαυτῷ, ὑπὸ χρόνον τε γενόμενος καὶ ἀδιαβλήτοις ἑκουσίως ὑποπεσὼν ὡς ἄνθρωπος πάθεσι μέχρι σταυροῦ καὶ φθορᾶς θανάτου, εἰ καὶ μετὰ θάνατον ἡ τοῦ Θεοῦ σάρξ ἐκείνη τὸ παράπαν οὐκ οἶδε διαφθοράν. Νόει τοιγαροῦν, εἰ βούλει, σωματικῶς ἑπτὰ στύλους ὑπερείδοντας τὸν οἶκον ἐκεῖνον, τὴν σάρκα φημι, τὸν πρόσκαιρον καὶ λυόμενον τουτονὶ χρόνον τῆς παρούσης ζωῆς, ἐν ἡμερῶν ἑβδομάσι κυκλούμενον καὶ συνιστάμενον ὅλον, ἀπὸ κτίσεως δηλαδὴ κόσμου μέχρι καὶ τῆς συντελείας αὐτῆς, εἰς τὴν ὀγδόην ἐκείνην, τὴν μίαν τε καὶ ἀδιάδοχον παραπεμπούσης ἡμᾶς. Οὐδὲ γὰρ ἄλλό τι τὸν παρόντα τουτονὶ νομιστέον αἰῶνα, ἢ τὴν πρώτην ἐκείνην ἑβδομάδα τῶν ἡμερῶν, τὴν ἄνωθεν συγκαταβληθεῖσαν τῇ κτίσει, καὶ τὴν δημιουργίαν τῆς τοῦ κόσμου γενέσεως ἀξιωθεῖσαν ἰδεῖν τοῦ Θεοῦ, εἰς ἑαυτὴν ἀνακυκλουμένην τε καὶ πολλαπλασιαζομένην, μήνας τε καὶ ἐνιαυ-

залъ раньше: *камень оторвался отъ горы безъ рукъ и ударилъ въ истуканъ* (Дан. II, 34). Онъ указывалъ на безсѣменное зачатіе и сверхъестественное оное, безъ мужа, рожденіе Христа.

8. Итакъ ипостасная и живая Премудрость Бога Отца, то есть Сынъ Божій и Богъ, сама собою для себя построила домъ, или храмъ святый, домъ тѣлесный. *И утвердила*, говоритъ, *семь столповъ*. Если угодно, принимай и это, какъ относящееся къ тѣлесности и человѣчности, такъ какъ Онъ былъ совершенный человѣкъ, всѣ свойства человѣческой природы имѣвшій въ Себѣ, подчинявшійся времени, добровольно подвергшійся времени, какъ человѣкъ, естественнымъ и безупречнымъ страданіямъ до креста и поврежденія смертію, хотя послѣ смерти оная плоть Бога Слова совсѣмъ не подверглась тлѣнію (Дѣян. II, 31. 13, 37). Итакъ, если угодно, въ тѣлесномъ смыслѣ подъ семью столпами, поддерживающими домъ тотъ, то есть плоть, разумѣй преходящее и оканчивающееся это время настоящей жизни, всецѣло обращающейся и протекающей въ седмицахъ дней, разумѣется—отъ созданія міра даже и до окончанія самого, препровождающей насъ въ восьмую *) оную, единую и неизмѣн-

*) См. Климента Алекс. Stromatum VI, 16. Lactanti VII, 14. Гри-

τοὺς οἱονεὶ γεννῶσαν ἐντεῦθεν, καὶ οὕτω τὸν ῥέοντα τουτονὶ χρόνον δημιουργοῦσαν ἄχρι δὴ καὶ τῆς τοῦ παντὸς συντελείας, καθάπερ ἔφθην εἰπών. Ἔχε μὲν οὖν εἰ βούλει καὶ τοῦτο, καθάπερ εἶπον, καὶ κάτεχε τοῖς τῆς διανοίας κόλποις, οὐ περιττὸν ὂν ὡς ἐγῷμαι καὶ λόγου μακράν· καὶ μάλισθ' ὅτι τὴν σάρκα πιστοῦται καὶ τοῦτο, καὶ ὑπὸ χρόνον ὡς ἄνθρωπον δείκνυσι τὸν ὡς Θεὸν τοῦ παντὸς ὄντα χρόνου δημιουργόν. Ὃ δὴ καὶ ἀναγκαῖον ὡς ἴσμεν, καὶ τῶν περὶ Χριστοῦ δογμάτων καὶ τῆς οἰκονομίας οὔμενουν τὸ παράπαν ἐκτός.

ную. Настоящій вѣкъ этотъ слѣдуетъ считать не инымъ чѣмъ, какъ первою оною седмицею дней, изначала появившеюся вмѣстѣ съ твореніемъ и удостоенною видѣть зиждительство Богомъ бытія міра (Быт. II, 4), возвращающеюся въ себя и многократно повторяющеюся, какъ бы раждающею текучее это время даже до кончины всего, какъ я уже сказалъ. Посему понимай это и такъ, какъ я сказалъ, и держи въ нѣдрахъ ума, какъ не лишнее, по моему мнѣнію, и не несогласное съ разумомъ; и особенно потому, что и это подтверждаетъ воплощеніе и показываетъ, что Богъ всего, Творецъ времени (Евр. XI, 3), какъ человѣкъ, подлежалъ условіямъ времени. Это и неизбѣжно, какъ знаемъ, и совсѣмъ нисколько непротивно догматамъ о Христѣ и Его домостроительствѣ.

9. Σκόπει δ' ὑψηλῶς πρὸ τῶν ἄλλων καὶ τόγ' ὑψηλὸν ἐκεῖνο καὶ τῷ ὄντι θεοπρεπές. Ὑπήρεισεν ἡ σοφία τῷ ἑαυτῆς οἴκῳ, λέγω δὴ τῷ παρ' αὐτῆς εἰς κατοικίαν ἑαυτῇ δημιουργηθέντι σωματικῷ θείῳ ναῷ στύλους ἑπτά, τὰς πολλάκις μοι ῥηθείσας ἀνωτέρω τοῦ παναγίου Πνεύματος ἐνεργείας ἑπτά, κατὰ τὴν Ἡσαΐου δηλαδὴ πρόῤῥησιν· ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, λέγοντος, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται· καὶ ἀναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα τοῦ Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου Θεοῦ

9. Но особенно вникни глубже и въ слѣдующее возвышенное и воистину богоприличное представленіе. Премудрость въ подпору Своему дому, то есть созданному Ею въ обитаніе Себѣ тѣлесному божественному храму, утвердила

горія Богослова слово о любви къ бѣднымъ. Но еще прежде нихъ Варнава, апостолъ изъ 70, въ посланіи говоритъ: „новомѣсячіе ваше и субботы ваши нестерпимы Мнѣ (Ис. 1, 13), непріятны Мнѣ настоящія субботы, а угодны, Мною установленныя, когда то есть, полагая конецъ вселенной, сдѣлаю начало восьмого дня, то есть начало другого міра".

ἐμπλήσει αὐτόν. Περὶ ὧν δήπου καὶ ὁ ἀπόστολος Παῦλος Κολοσσαεῦσιν ἔλεγεν ἐπιστέλλων ὕστερον, ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, ἐν τῇ ἐκείνου δηλονότι σαρκί. Τοῦτο γάρ που καὶ ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης ὁ μέγας ἐξηγούμενος ἔλεγεν ἐν εὐαγγελίοις· πάντων τῶν χαρισμάτων τῆς θεότητος, πασῶν τῶν δωρεῶν ἡ δεσποτικὴ πεπλήρωτο σάρξ· ἤτοι σοφίας, συνέσεως, δυνάμεως, σημείων πάσης ἐνεργείας· καὶ ἐκ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. Ἀφ' οὗ γάρ ἐπλήρωσε τὴν δεσποτικὴν σάρκα, ἀπ' αὐτῆς ἥντλει ὡς ἀπὸ δεξαμένης καὶ ἐδίδου τοῖς προφήταις καὶ ἀποστόλοις τὰς δωρεάς. Καὶ ὁ αὐτὸς ἐν ἑτέρῳ τοῦτ' αὐτὸ πάλιν ἑρμηνεύων, ἐπαναπαύεται ἐπ' αὐτὸν φησι Πνεῦμα Θεοῦ· ἐνταῦθα τὴν οὐσίαν ἑρμηνεύει αὐτὸ τὸ Πνεῦμα τὸ Ἅγιον. Τὸ δ' ἐπαγόμενον τὰς ἐνεργείας τοῦ Πνεύματος λέγει, πνεῦμα σοφίας καὶ συνέσεως καὶ τὰ ἑξῆς τὰς ἑπτὰ χάριτας τοῦ Ἁγίου Πνεύματος, τὰς ἐπαναπαυσαμένας τῷ σωματι τῷ δεσποτικῷ. Καθὸ μὲν γὰρ Υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς τέλειος ὁ Χριστὸς ἀχώριστον εἶχε τὸ Πνεῦμα τὸ Ἅγιον ἑαυτοῦ, οὐκ ἐνεργείᾳ παρὸν, ἀλλ' ὡς ὁμοτίμῳ συμπαρομαρτοῦν, ἣ φησιν ὁ τῆς θεολογίας ἐπώνυμος. Ἐκπορεύεται γὰρ ἐκ Πατρὸς κατὰ τοὺς θεολόγους αὖθις εἰπεῖν, καὶ ἀναπαύεται ἐν Υἱῷ, ὡς ὁμότιμόν τε καὶ ὁμοούσιον ἀϊδίως συνὸν, καὶ οἷς ἂν βούληται χορηγούμενον καὶ πεμπόμενον ὑπ' αὐτοῦ. Ἡ δὲ προσληφθεῖσα σάρξ ἔμψυχος ὑπ' ἐκείνου καὶ εἰς ἀνθρω-

семь столповъ, часто упомянутыя выше семь дѣйствій Всевышняго Духа, по предреченію Исаіи, который говоритъ: *взойдетъ отрасль отъ корня Іессева, и цвѣтъ произрастетъ отъ корня его; и почіетъ на Немъ Духъ Божій, духъ премудрости и разума, духъ совѣта и крѣпости, духъ знанія и благочестія, духъ страха Божія наполнитъ Его* (Ис. XI, 1—3). О нихъ безъ сомнѣнія сказалъ впослѣдствіи и апостолъ Павелъ въ посланіи къ Колоссянамъ, что *въ Немъ обитаетъ вся полнота Божества тѣлесно* (Кол. 11, 9), то есть въ плоти Его. И златословесный Іоаннъ великій, указывая на это, говорилъ въ толкованіи на Евангелія: „Владычняя плоть исполнена была всѣхъ благодатныхъ дарованій Божіихъ, всѣхъ даровъ мудрости, разумѣнія, силы, знаменій, всякаго дѣйствія; и отъ Его полноты мы всѣ приняли (Іоан. 1, 16). Ибо съ того времени, какъ тѣ дары въ полнотѣ находятся въ плоти Владычней, Онъ черпалъ изъ ней, какъ изъ вмѣстилища, и давалъ дары (Еф. IV, 8) пророкамъ и апостоламъ". И онъ же опять, изъясняя тоже самое въ другомъ мѣстѣ, говоритъ: „*почіетъ на немъ Духъ Божій*; тутъ обозначаетъ сущность, самого Духа Святаго. А прибавляемое выражаетъ дѣйствія Духа, духъ мудрости и разумѣнія, и прочія семь благодатныхъ

πον ὑποστᾶσα τέλειον ἐν αὐτῷ ἀπαρχὴ τοῦ Λοϊκοῦ φυράματος οὖσα, καὶ τὸ συγγενὲς ἅπαν αὐτὴ δι' ἑαυτῆς ἁγιάζειν μέλλουσα καὶ θεοποιεῖν, ἵνα κατὰ τὸν θεῖον ἀπόστολον ὥσπερ ἐν τῷ Ἀδὰμ ἀπεθάνομεν, οὕτως ἐν τῷ Χριστῷ ζήσωμεν· καὶ πάλιν· εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα φησί· καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι. Ὁ προσληφθεὶς γοῦν καὶ θεωθεὶς ἐκεῖνος ἄνθρωπος ἅμα τῇ προσλήψει τὲ καὶ ὑπάρξει τῷ μονογενεῖ Υἱῷ τοῦ Θεοῦ, ἐκεῖνος ἐν ἑαυτῷ κατὰ τοὺς εἰπόντας θεολόγους τὸ πλήρωμα πᾶν τῆς θεότητος δέχεται, πάντα τὰ θεοπρεπῆ χαρίσματα τοῦ Πνεύματος δηλαδὴ, δι' ἡμᾶς τοὺς ὁμογενεῖς τε καὶ συγγενεῖς, καθάπερ ἔφθην εἰπών. Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου, Παῦλος αὖθις ὁ μέγας τοῖς αὐτοῖς Ῥωμαίοις φησίν, ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί. Καὶ διὰ τοῦτο πρῶτα μὲν κατὰ τοὺς θείους ἐκείνους χρησμοὺς τὸ πανάγιον ἐπὶ τὴν παρθένον ἔρχεται Πνεῦμα, τὴν τοῦ ἁγιασμοῦ χάριν χαριζόμενον ἐκείνῃ θεοπρεπῶς, καὶ ψυχὴν ὁμοῦ καὶ σῶμα καθαίρον τὲ καὶ φωτίζον πρός γε τὴν ἄῤῥητον ἐκείνην ὑποδοχὴν καὶ σύλληψιν τοῦ Χριστοῦ. Ἔπειτα, συνδημιουργεῖ τὴν προσληφθεῖσαν σάρκα τῷ Υἱῷ τοῦ Θεοῦ, οἷα δὴ συνεργόν τε καὶ συνδημιουργὸν καὶ ὁμοδύναμον τὸ αὐτό· καὶ οὕτω τῶν παρ' ἑαυτοῦ χαρισμάτων πάντων ἐμπλήσαν τὴν ἤδη τῇ ἑνώσει τοῦ Λόγου τεθεωμένην ἐκείνην σάρκα, καθαπερεί τινα δεξαμενὴν, ὡς οἱ θεο-

дарованій Святаго Духа, почившихъ на тѣлѣ Владычнемъ". Ибо какъ Сынъ Божій и Богъ совершенный, Христосъ имѣлъ отъ Себя неотлучнымъ Духа святаго, не какъ дѣйствующаго, но какъ сопутствующаго равночестному, по выраженію сименнаго богословію *). Потому что исходитъ отъ Отца, скажу опять съ богословами **), и почиваетъ въ Сынѣ, какъ равночестный и единосущный вѣчно соприсутствуя, и кому хочетъ подаемый и посылаемый отъ Него. А воспринятая Имъ одушевленная плоть и ипостасно въ Немъ пребывающая, какъ совершенный человѣкъ, есть начатокъ перстнаго смѣшенія, и имѣющій освятить Собою и обожить все сродное ***), чтобы, по боговдохновенному апостолу, *какъ въ Адамѣ всѣ умерли, такъ и во Христѣ ожили* (1 Кор. XV, 22). И еще говоритъ: *если начатокъ святъ, то и цѣлое; и если корень святъ, то и вѣтви* (Рим. XI, 16). Итакъ воспринятый и обоженный вмѣстѣ съ воспріятіемъ и осуществованіемъ единороднымъ Сыномъ Божіимъ чело-

*) Григорія Бог. слово на св. Пятидесятницу (Твор. IV, 16).

**) Григорія Богосл. тамъ же; Дамаск. Точное Изл. Вѣры—1, 7.

***) „Посредствомъ воспринятаго начатка Христосъ сообщаетъ освященіе всему человѣчеству" — Григор. Нисскій во 2 словѣ противъ Евномія; Дамаскина Точн. изл. Вѣры—III, 6.

λόγοι φασίν, ἦγε θεοπρεπῶς αὐτὴν ἐξ ἐκείνου καθὸ Θεοῦ Λόγου σάρκα. Διὸ καὶ τῶν ἱερῶν εὐαγγελίων ἀκούεις, νῦν μὲν τὸ δὲ παιδίον λεγόντων ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτό· νῦν δ' αὖθις, ἤγετο ὑπὸ τοῦ πνεύματος εἰς τὴν ἔρημον πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. Καὶ πάλιν· ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος εἰς τὴν Γαλιλαίαν. Καὶ ἐπὶ τοῦ παραλυτικοῦ, εὐθέως ἐπέγνω, φησίν, ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ, ὅτι οὕτως οἱ γραμματεῖς διαλογίζονται. Καὶ ἐπὶ τῶν Ἰορδανείων δὲ ῥείθρων ἐπὶ τὴν θεωθεῖσαν ἐκείνην σάρκα κάτεισιν ὁμοίως τὸ Πνεῦμα δι' ἡμᾶς αὐτούς, οἷς καὶ ἐβαπτίζετο δήπου ὁ πάσης ἐπέκεινα καθαρότητος καὶ ἁγιασμοῦ. Ἐπειδὴ γὰρ κοινὰ μὲν τὰ θεοπρεπῆ πάντα δῶρα καὶ Πνεύματος ὁμοῦ καὶ Υἱοῦ, ὥσπερ ἄρα καὶ τῆς πρώτης αἰτίας, τοῦ ὁμοουσίου λέγω Πατρός, παρὰ δὲ τοῦ Ἁγίου Πνεύματος δίδοται διαιρούμενα, καθάπερ ἤδη πολλάκις ἠκούσαμεν, ἐνεργοῦντος τε καὶ διαιροῦντος ἑκάστῳ καθὼς βούλεται, διὰ τοῦτο τὴν ἀπαρχὴν ἡμῶν, τὴν δεσποτικὴν ἐκείνην σάρκα φημί, φθάσας ὁ θησαυρὸς ἐκεῖνος ἀφθόνως πληροῖ, τῇ φύσει τῇ ἡμετέρᾳ θησαυρίζων ἐκεῖνα πάντα διὰ τῆς μεγάλης καὶ θείας ἡμῶν ἀπαρχῆς. Ὅ δὴ καὶ Ἰωάννης ὁ μέγας δήπου ἔλεγε· καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος.

вѣкъ оный самъ въ себѣ (лично), по сказавшимъ *) такъ богословамъ, принимаетъ всю полноту Божества (Кол. 11, 9), всѣ богоприличныя даровапія Духа, для насъ однородныхъ съ нимъ и сродныхъ, какъ сказано выше. *Ибо какъ непослушаніемъ одного человѣка*, говоритъ снова великій Павелъ тѣмъ же Римлянамъ, *сдѣлались многіе грѣшными, такъ и послушаніемъ одного сдѣлаются праведными многіе* (Рим. V, 19). И посему, согласно онымъ божественнымъ предсказаніямъ, всесвятый Духъ сперва снисходитъ на Дѣву, богоприлично даруя ей благодать освященія, и очищая и просвѣщая вмѣстѣ душу и тѣло для непзреченнаго онаго пріема и зачатія Христова. Потомъ, содѣйствовалъ Сыну Божію **) въ созиданіи воспринятой плоти, какъ самъ и содѣйствующій, и творящій съ Нимъ, и равносильный. И такимъ образомъ исполнивши всѣми Своими благодатными дарованіями обоженную уже единеніемъ Слова плоть оную, какъ нѣкое вмѣстилище, по выраженію богослововъ, богоприлично направлялъ ее отъ Себя, какъ плоть Бога Слова. Посему и слышишь въ священныхъ Евангеліяхъ, въ одномъ мѣстѣ: *Младенецъ же возра-*

*) Сравни Златоуста на посл. къ Колос. бесѣду шестую.

**) Дамаскина Точное изл. Вѣры—III, 2,

сталъ и укрѣплялся духомъ, исполняясь премудрости, и благодать Божія была на Немъ (Лук. 11. 40); въ другомъ опять: *возведенъ былъ Духомъ въ пустыню, для искушенія отъ діавола* (Мѳ. IV, 1). И опять: *возвратился Іисусъ въ силѣ Духа въ Галилею* (Лук. IV. 14). И въ разсказѣ о разслабленномъ говорится: *тотчасъ узналъ Іисусъ духомъ Своимъ, что книжники такъ помышляютъ въ себѣ* Мрк. 11, 8). Подобно сходитъ Духъ на обоженную оную плоть ради насъ *) самихъ и при струяхъ Іорданскихъ, въ которыхъ и крестился Тотъ, Кто превыше всякого очищенія и освященія. Ибо поелику всѣ богоприличные дары Духа общи и Сыну, какъ и первой причинѣ, единосущному Отцу, а раздѣльно подаются Святымъ Духомъ, который, какъ неразъ уже мы слышали, производитъ это и раздѣляетъ каждому, какъ хочетъ (1 Кор. XII, 11), то посему и начатокъ нашъ, Владычнюю оную плоть, Сокровище оное **) обильно исполняетъ, нашей природѣ сообщая то все посредствомъ великаго и божественнаго начатка нашего. Это, конечно, и великій Іоаннъ пока-

*) Григ. Богословъ: „Христосъ—источная чистота, и не имѣлъ нужды въ очищеніи; очищается же для тебя, такъ какъ и плоть носитъ для тебя, Самъ будучи безплотенъ". Слово 40, на св. крещеніе.

**) То есть Духъ Св., называемый Сокровищемъ благъ.

10. Εὐστόχως ἄρα καὶ κατὰ γε τὸν σώζοντα λόγον ἡμῖν εἴρηται, ὅτι τοῖς μεγάλοις ἑπτὰ χαρίσμασι τοῦ θείου Πνεύματος ἡ τοῦ Θεοῦ σοφία τὸν ἑαυτῆς ἐπέθηκεν οἶκον, ὡς ἐπὶ στύλοις ἑπτά· ὑφ' ὧν δήπου καὶ πληρωθείς, πανταχοῦ θεοπρεπῶς ἤγετο. Νοήσομεν δ' οἶκον καὶ ἄλλως τῆς ἐνυποστάτου Θεοῦ Λόγου σοφίας, σάρκα περιβαλλομένης τὴν ἀνθρωπίνην ὡς εἴρηται, τὴν ἁγίαν μητέρα τὲ καὶ παρθένον, τὴν Θεοτόκον φημί. Ὡς γὰρ ἡ προσληφθεῖσα καὶ ἐν αὐτῷ ὑποστᾶσα λογικὴ καὶ ἔμψυχος σὰρξ οἶκος καὶ ναὸς ἐγένετο τοῦ Θεοῦ, οὕτως ἡ πασῶν ἐκλεχθεῖσα καὶ προτιμηθεῖσα τῶν γενεῶν, καὶ εἰς μητέρα προορισθεῖσα τοῦ πάντων Θεοῦ, ναὸς καὶ δοχεῖον ἔμψυχον καὶ κατοικητήριον τοῦ Χριστοῦ γέγονεν ὅλου, τῆς θεότητος αὐτοῦ φημι καὶ τῆς ἐψυχωμένης σαρκός, ἣν ἐκ τῆς οὐσίας ἐκείνης καὶ τῆς σαρκός, καθάπερ ἔφθην εἰπών, ἐνεδύσατο. Καὶ ἐπεὶ οὐκ ἐν χειροποιήτοις ναοῖς κατὰ τὸ εἰρημένον ὁ Ὕψιστος κατοικεῖ· οὐχὶ τὸν οὐρανὸν γάρ φησι καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος; Καί· ποῖον οἶκον οἰκοδομήσετέ μοι, ἢ τίς τόπος τῆς καταπαύσεώς μου; ᾠκοδόμησεν ἡ τοῦ Θεοῦ σοφία ναὸν ἀχειροποίητον, ταύτην δηλαδὴ τὴν ἁγίαν παρθένον αὐτὴ ἑαυτῇ. Πρότερον μὲν τῇ δημιουργῷ δυνάμει καὶ ταύτην οἰκοδομήσας ὡς ἄνθρωπον, οἷα δὴ Θεὸς καὶ δημιουργός· ὕστερον δὲ καὶ τῇ

зывая, сказалъ: *и отъ полноты Его всѣ мы приняли, и благодать на благодать* (Іоан. 1, 16).

10. Правильно значитъ и съ довлѣющимъ основаніемъ сказано нами, что Премудрость Божія утвердила Свой домъ, какъ на семи столпахъ, на великихъ семи дарахъ Духа Божія, которыми исполнившись, всюду богоприлично онъ былъ управляемъ. Но въ другомъ отношеніи мы подъ домомъ можемъ разумѣть Богородительницу, святую Дѣву и Матерь ипостасной Мудрости Бога Слова, принявшей плоть человѣческую. Ибо какъ воспринятая и въ Немъ получивъ ипостась разумная и одушевленная плоть содѣлалась домомъ и храмомъ Божіимъ, такъ и избранная и предпочтенная изъ всѣхъ родовъ, и предопредѣленная быть Матерію Божіею, содѣлалась храмомъ, одушевленнымъ вмѣстилищемъ и жилищемъ всего Христа, то есть божества Его и одушевленной плоти, которую заимствовалъ отъ сущности ея и плоти, какъ я прежде сказалъ. И такъ какъ, по сказанному, Всевышній *не въ рукотворенныхъ храмахъ живетъ* (Дѣян. XVII, 24); ибо, говоритъ Господь, *не наполняю ли Я неба и земли* (Іер. XXIII, 24)? и: *какой домъ созиждете Мнѣ, или какое мѣсто для покоя Моего* (Ис. LXVI, 1)? то Премудрость Божія сама Себѣ устро-

τοῦ ὁμοουσίου καὶ ὁμοτίμου Πνεύματος ἁγιαστικῇ καὶ τελειωτικῇ δυνάμει κατασκευάσας αὐτὸς ἑαυτοῦ μητέρα καὶ ἀληθῆ Θεοτόκον. Περι ἧς δήπου καὶ Δαυὶδ ὁ πρόγονος ἔλεγεν· εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. Καὶ αὖθις· ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται. Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

11. Εἰ δὲ καὶ θεοὺς εἶπέ τινας ἡ Γραφὴ, πρὸς οὓς καὶ περὶ ὧν ὁ λόγος, καὶ Θεὸς αὖθις διὰ Μωσέως ἐνοικήσω φησὶν ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω· καὶ Χριστὸς αὐτὸς ὕστερον πρὸ τοῦ σταυροῦ μικρὸν καὶ τοῦ πάθους· ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ᾽ αὐτῷ ποιήσομεν· καὶ τὰ μυστικὰ δὲ τοῦ θείου σεμνοῦ Ἄσματος αὐτὸ τοῦτο διὰ πάντων αἰνίττεται, καθαπερεί τινα νύμφην εἰσάγοντα τὴν εὐσεβῆ καὶ κεκαθαρμένην ψυχὴν εἰς τὴν θεοπρεπῆ τοῦ νυμφίου Λόγου συνάφειαν, ᾗ καὶ πρόσκειται· πῶς ἂν εἴποις ἐρωτικῶς ὁ τῶν καθαρῶν ψυχῶν ἐραστὴς καὶ νυμφίος, ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου λέγων, ἰδοὺ εἶ καλή, καὶ τῆς θεο-

ила *) храмъ нерукотворенный, сію святую Дѣву, сперва творческою силою создавши ее, какъ Богъ и Зиждитель, какъ человѣка, а вънослѣдствія освящающею и совершительною силою единосущнаго и равночестнаго Духа содѣлалъ ее Своею матерію и истинною Богородицею. О ней безъ сомнѣнія **) и предокъ ея Давидъ говорилъ: *не дамъ сна очамъ моимъ и вѣждамъ моимъ дреманія, доколѣ не найду мѣста Господу, жилища Богу Іакова* (Пс. CXXXI, 4. 5). И еще: *освятилъ жилище Свое Вышній; Богъ посредѣ его, и не поколеблется* (Пс. XLV, 5, 6). *Святъ храмъ Твой, дивенъ въ праведности* (Пс. LXIV, 5).

11. Если же и богами Писаніе назвало нѣкоторыхъ, къ которымъ слово Божіе (Іоан. X, 35. Пс. LXXXI, 6), и Богъ такъ же говоритъ чрезъ Моисея: *вселюсь въ нихъ и буду ходить*

*) Дамаскина слово на рождество пресв. Богородицы (въ русскомъ переводѣ въ Христ. Чтеніи 1841 года, часть 3).

**) Θеодоритъ: Давидъ молилъ Бога о дарованіи ему чести построенія храма, а Единородное Слово Божіе обѣщаетъ отъ плода чресълего построить Себѣ храмъ одушевленный и словесный. И поелику два было жилища, одно изъ камней и деревъ, а другое изъ тѣла и души, и первое построено въ Іерусалимѣ Соломономъ, а второе пресвятая Дѣва въ Виѳлеемѣ благодать всесвятаго Духа, и одно уже видѣли благочестивые, а другого ожидали, то и сказано: вотъ мы слышали о немъ (этомъ жилищѣ) во Ефраѳѣ (ст. 6).

ποιοῦ χάριτος ὅλως καὶ τῆς μονῆς ἑαυτοῦ καὶ τῆς ἐνοικήσεως ἀξίαν ἀποδεικνύς, πῶς οὐχὶ καὶ μᾶλλον ἡ ἁγία παρθένος καὶ θεοτόκος, καὶ νύμφη Θεοῦ καὶ θεὸς κατὰ χάριν ἔσται, καὶ ναὸς ἅγιος, καὶ οἶκος καὶ κατοικητήριον ἔμψυχον τῆς τοῦ Θεοῦ δηλονότι σοφίας, πάντας μὲν ὑπερβᾶσα καὶ πάσας τῇ τῆς καθαρότητος ὑπερβολῇ καὶ τοῦ ὑπὲρ φύσιν ἁγιασμοῦ, τὴν δὲ τοῦ Πατρὸς ἐνυπόστατον σοφίαν ὅλην ὑπὲρ λόγον οὐσιωδῶς ἐν ἑαυτῇ συλλαβοῦσα καὶ γεννήσασα Θεὸν ὁμοῦ τε καὶ ἄνθρωπον τὸν αὐτόν; Διὸ καὶ τοῖς ἑπτὰ μεγάλοις τὲ καὶ πρώτοις τοῦ Πνεύματος χαρίσμασιν ὑπερείδεσθαι τὸν ἅγιον τουτονὶ τῆς σοφίας οἶκον ἡ παροιμία φησίν, ὡσανεί τισιν ἑπτὰ στύλοις. Ὡς μὲν γὰρ ἄνθρωπος, καὶ αὐτὴ τοῖς ἀνθρωπίνοις ἑπτὰ τουτοισὶν ὑπανείχετο στύλοις, λέγω δὴ τῷ διὰ τῆς ἑβδομάδος ἀνακυκλουμένῳ τε καὶ δημιουργουμένῳ τουτωὶ χρόνῳ· ὃ δὴ καὶ περὶ τῆς κάτωζωῆς καὶ τοῦ σώματος τῆς σοφίας αὐτῆς ἤδη φθάσαντες εἴπομεν. Ὡς δέ γε Θεοῦ μητὴρ καὶ δοχεῖον καὶ οἶκος ὑπερφυὴς, καὶ αὐτὴ τοῖς ἑπτὰ καθόλου τοῦ Πνεύματος χαρίσμασιν ὅλη κεκόσμηταί τε καὶ ἥδρασται. Ἐν αὐτῇ καὶ γὰρ πρότερον μὲν ἡ τοῦ Πνεύματος χάρις ἐπῆλθε κατὰ τὴν τοῦ ἀγγέλου φωνὴν μερικῶς, ὅπερ ἔφθην εἰπών. Πνεῦμα γάρ φησιν Ἅγιον ἐπελεύσεται ἐπὶ σέ. Ὕστερον δὲ καὶ τὸ πλήρωμα τῆς θεότητος κατῴκησεν ἅπαν σωματικῶς, διὰ τῆς ἐν αὐτῇ δηλονότι καινῆς ἐνοικήσεώς τε καὶ σαρκώσεως τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ.

въ нихъ (Лев. XXVI, 12. 2 Кор. VI, 16), и самъ Христосъ наконецъ незадолго до креста и страданія сказалъ: *кто любитъ Меня, тотъ соблюдетъ слово Мое, и Отецъ Мой возлюбитъ его, и мы придемъ къ нему, и обитель у него сотворимъ* (Іоан. XIV, 23); и таинственныя рѣчи божественной величественной пѣсни всюду намекаютъ на это самое, вводя благочестивую и очищенную душу, какъ бы нѣкую невѣсту, въ богоприличное общеніе съ женихомъ Словомъ, которое усильно и ищется: то какъ, скажи любовно, когда Другъ и Женихъ чистыхъ душъ говоритъ: *о, ты прекрасна, ближняя Моя, ты прекрасна* (Пѣсн. IV, 1), и показываетъ ее достойною всецѣло боготворной благодати, Своего обитанія и вселенія, какъ святая Дѣва и Богородица не будетъ и невѣстою Божіею (2 Кор. XI, 2) и обоженною по благодати, и храмомъ святымъ и домомъ, и одушевленнымъ жилищемъ Премудрости Божіей,—она, превзошедшая всѣхъ превосходствомъ чистоты и освященіемъ сверхъестественнымъ, всецѣло ипостасную Премудрость Отца непостижимо существенно въ себѣ зачавшая и родившая Бога и человѣка вмѣстѣ? Посему и семью великими и первыми благодатными дарованіями Духа подкрѣпляется святый этотъ домъ Премудрости, какъ бы нѣкіими семью

столпами, говоритъ книга притчей. Ибо, какъ человѣкъ, и сама Она поддерживалась семью этими человѣческими столпами, то есть—этимъ временемъ, круговращаемымъ и образовываемымъ посредствомъ седмицы,—что мы уже сказали и о дольней жизни и о тѣлѣ Премудрости. А какъ Матерь Божія есть и вмѣстилище и домъ сверхъестественный, то и она всецѣло отличена и утверждена всѣми дарами Духа. Ибо сначала сошла на нее благодать Духа частично, по гласу ангела, какъ говоритъ: *Духъ святый найдетъ на тебя* (Лук. 1, 35); а послѣ и *вся полнота Божества возобитала тѣлесно* (Кол. 11, 9), чрезъ необыкновенное вселеніе въ нее и воплощеніе единороднаго Сына Божія.

Διχαίως οὖν καὶ κατὰ τὸν ὀρθόν τε καὶ ἀληθῆ λόγον ἡ παναγία Παρθένος καὶ Θεοτόκος καὶ οἶκος γέγονέ τε καὶ λέλεκται τῆς σοφίας, καὶ ναὸς ἅγιος, καὶ θεότητος δοχεῖον, καὶ τἄλλα δὴ τὰ θεοπρεπῆ, τοῖς ἑπτὰ στύλοις ἐκείνοις ἐρειδομένη τοῦ Πνεύματος, ὡς ἀληθῶς καὶ κυρίως μητὴρ αὐτῆς φημι τῆς ἐνυποστάτου καὶ ζώσης σοφίας τοῦ Θεοῦ καὶ Πατρός.

Итакъ справедливо, дѣйствительно и истинно всесвятая Дѣва Богородица и была и названа домомъ Премудрости, храмомъ святымъ, вмѣстилищемъ Божества, и другими богоприличными наименованіями, укрѣпленная семью оными столпами Духа, какъ истинно и въ собственномъ смыслѣ Матерь ипостасной и живой Премудрости Бога Отца.

12. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Ἔσφαξε τὰ ἑαυτῆς θύματα· τὸ ἑκούσιον ἐνταῦθα τῆς σφαγῆς καὶ τοῦ ζωηφόρου θανάτου αἰνίττεται τοῦ Χριστοῦ. Εἰς θυσίαν καὶ

12. *Заколола свои жертвы и растворила въ чашѣ свое вино и приготовила у себя трапезу.* „Заколола свои жертвы“; указываетъ здѣсь на добровольность пролитія крови и животворной смерти Христа. Въ жер-

σφαγὴν καὶ θάνατόν φησιν ἔδωκεν αὐτὸς ἑαυτόν, τὴν σάρκα δηλαδὴ τὴν ἰδίαν, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. Ὁ γὰρ αὐτὸς καὶ οἶκος ἑαυτοῦ καὶ θῦμα, καὶ θύτης καὶ τὴν θυσίαν ὡς Θεὸς προσδεχόμενος. Ἐξουσίαν γάρ φησιν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. Καὶ πρὸς μὲν τὸν Ἰούδαν ὃ ποιεῖς φησι, ποίησον τάχιον, τὴν προδοσίαν αἰνιττόμενος πάντως καὶ τὸν σταυρόν· πρὸς δὲ τοὺς ἐπιόντας μετ' ὀλίγον ἐπὶ τὸ συλλαβεῖν, οὓς καὶ μετὰ πολλῆς τῆς ἰσχύος ὁράσει καὶ φθέγματι μόνῳ καὶ ἀποστραφῆναι καὶ καταπεσεῖν ἐποίησεν ἐπὶ γῆς, εἰ ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν ἔλεγεν, ἑαυτὸν ἑκουσίως τοῖς ἡττημένοις τὲ καὶ καταπεσοῦσιν αὐτὸς διδούς. Καὶ τῷ μὲν μαθητῇ μαχαιρίῳ χρησαμένῳ κατὰ τῶν ἐπιόντων ἐπιτιμᾷ, τάς τε λεγεῶνας ὁμοῦ τῶν ἀγγέλων παραιτησάμενος καὶ τὸ μέλος ἀποκαταστήσας τῷ πεπληγότι. Ἀνηρτημένος δ' αὖθις ὢν ἐπὶ τοῦ σταυροῦ, Πάτερ, φησίν, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. Καὶ τοῦτο εἰπών, ἐξέπνευσεν, κατ' ἐξουσίαν, ὡς προέφη, δοὺς τὴν ψυχήν. Ὃ δὴ καὶ ὁ θαυμαστὸς πάλαι προὔλεγεν Ἡσαΐας· οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ἐν ταπεινώσει αὐτοῦ, φησίν, ἡ κρίσις αὐτοῦ ἤρθη· ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

тву, говоритъ, и на заколеніе, и на смерть отдалъ самъ Себя, то есть Свою плоть, за жизнь міра (Іоан. VI, 51). Ибо самъ Онъ и—домъ свой и жертва, жертвоприноситель и, какъ Богъ, пріемлющій жертву. *Власть имѣю*, говоритъ, *отдать душу Мою, и власть имѣю опять принять ее. Никто не отнимаетъ ее отъ Меня, но Я самъ отдаю ее* (Іоан. X, 18). И къ Іудѣ говоритъ: *что дѣлаешь, дѣлай скорѣе* (Іоан. XIII, 27), намекая конечно на предательство и крестъ; а къ пришедшимъ немного спустя схватить его, которыхъ видѣніемъ только и словомъ властно заставилъ отступить и пасть на землю, сказалъ: *если Меня ищете, оставьте этихъ, пусть идутъ* (Іоан. XVIII, 8), самъ Себя добровольно отдавая убоявшимся и повергшимся долу. И ученику, употребившему ножъ противъ нападшихъ, запрещаетъ, отказавшись отъ легіоновъ ангеловъ (Мѳ. XXVI, 51—53) и исцѣливши пораженнаго въ ухо (Лук. XXII, 51). И будучи повѣшенъ на крестѣ, говоритъ: Отче, въ руки *Твои предаю духъ Мой. И сіе сказавъ, испустилъ духъ* (Лук. XXIII, 46), по Своей власти, какъ уже сказано, отдавая душу. Объ этомъ давно предсказалъ и дивный Исаія: *не воспрекословитъ, и не возопіетъ, и никто не услышитъ на улицахъ го-*

13. Καὶ ἐκέρασέν φησιν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Τὴν μυστικὴν ἐκείνην τράπεζαν καὶ τὸ δεῖπνον, ἐν ᾧ τοὺς μαθητὰς ἐν ἑσπέρᾳ πρὸ τῆς τοῦ πάθους νυκτὸς ὁ Χριστὸς ἑστιᾷ, τὸ παρὸν αἰνίττεσθαί μοι δοκεῖ χωρίον. Λαβὼν γάρ φησιν ἐκεῖ ποτήριον καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήνης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Λέγω δὲ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπ' ἄρτι ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου τούτου ἕως τῆς ἡμέρας ἐκείνης. Ὅπερ ταυτόν ἐστι πάντως τῷ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, πλὴν ὅτι τὰ λόγοις ἐκεῖ συμβολικῶς εἰρημένα μόνοις, πράγμασι τοῖς μαθηταῖς ἡ σοφία ὕστερον παρεγύμνου, συμβολικῶς κἀνταῦθα· μετ' ὀλίγον δὲ φανερῶς τε καὶ ἀπεριπαλύπτως αὐτὸς ἑαυτὸν οὐκ ἐν συμβόλοις αὐθις καὶ τύποις, ἀλλὰ πράγμασιν αὐτοῖς ἐπὶ τοῦ σταυροῦ θύων, καὶ ὡς ἐν κρατῆρι τῇ ἑαυτοῦ πλευρᾷ τὸ ἴδιον αἷμα κιρνῶν. Ὁ δὴ καὶ ἐπὶ τοῦ μυστικοῦ, καθάπερ εἶπον, προὔλεγε δείπνου, πίετε λέγων ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης. Ἡ κρατῆρα μάλιστα νοητέον ἐνταῦθα τὴν πλευρὰν αὐτὴν τοῦ Σωτῆρος, ἐν ᾗ τὸ θεῖον ὑπερ-

лоса Его (Ис. XLII, 2. Мѳ. XII, 19). *Какъ овца, веденъ былъ Онъ на закланіе* (Ис. LIII, 7), *и въ уничиженіи Его судъ Его совершился. Ибо взимается отъ земли жизнь Его* (ст. 8).

